Π. χ. διὰ νὰ φέρωμεν εἰς τὸν αὐτὸν Παρονομαστὴν τὰ Κλάσματα $\frac{2}{3}$ καὶ $\frac{4}{5}$, πολλαπλασιάζομεν πρῶτον τὸν ἀριθμητὸν 2 διὰ τοῦ Παρονομαστοῦ 5, ὥστε προκύπτει Γινόμενον ὁ 10, καὶ οὗτος γίνεται ἀριθμητὴς τοῦ πρώτου Κλάσματος· ἔπειτα μεταβαίνομεν, καὶ πολλαπλασιάζομεν τὸν 4 ἤτοι τὸν ἀριθμητὸν τοῦ δευτέρου Κλάσματος, διὰ τοῦ Παρονομαστοῦ 3, ὥστε παράγεται ἀριθμὸς 12, ὅστις ἔσται ἤδη ἀριθμητὴς τοῦ δευτέρου Κλάσματος. τέλος πολλαπλασιάζομεν καὶ τὸν Παρονομαστὴν τοῦ πρώτου Κλάσματος μετὰ τοῦ Παρονομαστοῦ τοῦ δευτέρου, λέγω τὸν 3 μετὰ τοῦ 5. ὥστε προκύπτει Γινόμενον 15, καὶ οὗτος ὁ 15 ὑπάρχει ὁ κοινὸς Παρονομαστὴς καὶ τοῖς δυσὶ Κλάσμασιν. οἷον $\frac{10}{15}$ καὶ $\frac{12}{15}$, ἢ $\frac{10 \text{ καὶ } 12}{15}$.

Διὰ νὰ ἀγάγωμεν αὖθις εἰς τοὺς αὐτοὺς Παρονομαστὰς αὐτὰ τὰ Κλάσματα $\frac{3}{7}$, $\frac{2}{8}$, καὶ $\frac{4}{5}$, πολλαπλασιάζομεν πρῶτον τὸν ἀριθμητὴν 3 διὰ τοῦ Παρονομαστοῦ 3, ὥστε προκύπτει Γινόμενον ὁ 9, τοῦτον δὲ τὸν 9 πολλαπλασιάζομεν διὰ τοῦ Παρονομαστοῦ 5, καὶ τὸ ἐξ αὐτῶν Γινόμενον, τὸ ὁποῖον εἶναι 45, ὑπάρχει ἀριθμητὴς τοῦ πρώτου Κλάσματος, ἔπειτα πολλαπλασιάζομεν τὸν ἀριθμητὸν

τοῦ

τοῦ δευτέρου Κλάσματος, λέγω τὸν 2 διὰ τοῦ Παρονομαστοῦ 7, ϗ τὸ ἐξ αὐτῶν Παραγόμενον 14 πολλαπλασιάζομεν αὖθις διὰ τοῦ Παρονομαστοῦ 5, ὥστε προκύπτει ἐξ αὐτῶν Γινόμενον 70, ϗ εἶναι ἀριθμητὴς τοῦ δευτέρου Κλάσματος, κατ' αὐτὸν δὲ τὸν τρόπον πολλαπλασιάζομεν ϗ τὸν ἀριθμητὴν τοῦ τρίτου Κλάσματος μετὰ τῶν 7 ϗ 3 Παρονομαστῶν, ὥστε τὸ ἐξ αὐτῶν Γινόμενον εἶναι 84. τέλος δὲ πολλαπλασιάζομεν ὁμοῦ ϗ ἅπαντας τοὺς Παρονομαστάς, λέγω τὸν 7, 3, ϗ 5, ὥστε ἐκ τῆς Πολλαπλασιάσεως αὐτῶν προκύπτει ὁ 105, ϗ οὗτος εἶναι ὁ κοινὸς Παρονομαστὴς ϗ εἰς τὰ τρία ταῦτα Κλάσματα· οἷον $\frac{45}{105}$, $\frac{70}{105}$, $\frac{84}{105}$. ἅπαντα ὁμοῦ

$$\frac{45 \text{ ϗ } 70 \text{ ϗ } 84}{105}.$$

ΔΕΙΞΙΣ.

Ὅταν ϗ οἱ δύω Ὅροι τινὸς Κλάσματος τουτέστι ϗ ὁ ἀριθμητὴς ϗ ὁ Παρονομαστὴς πολλαπλασιασθῶσι διὰ τῆς αὐτῆς Ποσότητος, ἡ Δύναμις τοῦ Κλάσματος δὲν βλάπτεται, ἀλλὰ μὴν κατὰ τοὺς ἀνωτέρω Κανόνας ϗ ὁ ἀριθμητὴς ϗ ὁ Παρονομαστὴς ἑκάστου Κλάσματος πολλαπλασιάζεται διὰ τῆς αὐτῆς Ποσότητος, ἄρα ἡ Δύναμις δὲν μεταβάλλεται. ϗ ἐπειδὴ δὲ οἱ αὐτοὶ Παράγοντες, παρέχουσι τὸ αὐτὸ Γινόμενον, ὁ Παρονομαστὴς ἄρα ἑκάστου Κλάσματος πολλαπλασιασθεὶς μετὰ τῶν ἄλλων Παρονομαστῶν, παρέχει τὸ αὐτὸ Γινόμενον, ϗ ἑπομένως Παρονομασταὶ εἰσὶν Ἴσοι.

ΣΧΟΛΙΟΝ.

S. 78, Δύναται ἔτι νὰ γίνηται ἡ ἀγωγὴ τῶν Κλασμάτων εἰς τὸν αὐτὸν Παρονομαστὴν ϗ κατὰ τὸν ἑπόμενον τρόπον. πολλαπλασιάζομεν δηλονότι τοὺς Παρονομαστὰς μετ' ἀλλήλων, τὸ δὲ ἐκ τούτῶν Γινομένων ὑπάρχει ὁ Κοινὸς τοῖς Κλάσμασι Παρονομαστής. ἔπειτα πολλαπλασιάζομεν ἕκαστον ἀριθμητὴν διὰ τοῦ κοινοῦ Παρονομαστοῦ, καὶ τὸ ἐκ τούτων Γινόμενον διαιροῦμεν με τὸν πρότερον Παρονομαστὴν ἐκείνου τοῦ Κλάσματος, τοῦ ὁποίου ὁ ἀριθμητὴς ἐπολλαπλασιάσθη, τὸ δὲ ἐκ τῆς Διαιρέσεως Πηλίκον εἶναι ὁ νέος ἀριθμητής.

Π. χ. $\frac{3}{8}$, $\frac{2}{5}$, $\frac{5}{7}$ ἀναχθέντα, γίνονται $\frac{105}{280}$, $\frac{112}{280}$, $\frac{200}{280}$,

Ὁμοίως καὶ $\frac{9}{10}$, $\frac{7}{12}$, $\frac{5}{6}$ γίνονται $\frac{648}{720}$, $\frac{420}{720}$, $\frac{600}{720}$.

ΚΕΦΑ'ΛΑΙΟΝ έ.

Περὶ τῶν ἀριθμητικῶν Πράξεων, ἢ λογισμῶν ἐν Κλάσμασι.

ΠΡΟ'ΒΛΗΜΑ ά.

§. 79. Νὰ συνάπτωμεν Κλάσματα.

ΠΡΑΚΤΕΑ ἡ ΛΥ'ΣΙΣ.

Καν. ά.) Α'ν τὰ συναφθησόμενα Κλάσματα δὲν ἔχωσι τὸν αὐτὸν Παρονομαστὴν, ἀνάγομεν αὐτὰ εἰς ἕνα κοινὸν Παρονομαστὴν κατὰ τὰς γνωστὰς ἤδη Κανόνας.

Καν. β'.) Ἔπειτα συνάπτομεν τὰς ἀριθμητὰς πάντων, ϗ ὑπὸ τὸ ἄθροισμα γράφομεν τὸν κοινὸν Παρονομαστήν.

Π. χ. ἐκ τῶ $\frac{2}{5}$ ϗ $\frac{4}{5}$ γίνεται $\frac{6}{5}$

τὰ δὲ $\frac{2}{3}$, $\frac{3}{4}$ γίνονται $\frac{8}{12}$ ϗ $\frac{9}{12}$, τυτέςι $\frac{17}{12}$

τὰ δὲ $\frac{1}{2}$, $\frac{3}{5}$, $\frac{2}{7}$ γίνονται $\frac{35}{70}$, $\frac{42}{70}$, $\frac{20}{70}$ τυτέςι $\frac{97}{70}$.

ΔΕΙ̃ΞΙΣ.

Ὅταν τὰ Κλάσματα ἔχωσι διαφόρυς Παρονομαςὰς, εἰσὶ Ποσότητες Ἑτεροειδεῖς, ἐπειδὴ ἐν αὐτοῖς καθορᾶται, ὅτι τὰ ὅλα εἰσὶ διῃρημένα ἑτεροειδῶς, ϗ δὲν δύνανται νὰ συναφθῶσιν ἀλλήλοις, πρὸτῦ νὰ γένωσιν ὁμοειδῆ ἀναχθέντα ἐπὶ τὸν κοινὸν Παρονομαςήν. πλὴν δὲ, ἐπειδὴ οἱ ἀριθμηταὶ δεικνύυσι τὴν πληθὺν τῶν μερῶν, ἡ δὲ Σύναψις εἶναι μία ἄθροισις τῶν μερῶν, πρέπει ἄρα νὰ συναφθῶσιν οἱ ἀριθμηταὶ μόνον, διὰ νὰ ἀναφανῇ τὸ Κεφάλαιον ὅλων τῶν ληφθέντων μερῶν.

ΣΧΟ'ΛΙΟΝ α.

§. 80. Ὅταν δὲ ἔχωμεν νὰ συνάψωμεν Μικτὸν τινὰ ἀριθμὸν, ἀκέραιον δηλονότι ϗ Κλάσμα, τότε μεταποιῦμεν πρῶτον τὸ ἀκέραιον εἰς Κλάσμα, ὡς ἐν τῷ (§. 74.) ἐδείχθη, ἔπειτα ἀγχγόντες αὐτὰ εἰς κοινὸν Παρονομαστὴν, συνάπτομεν τοὺς τούτων ἀριθμητάς. π. χ. ἔσωται εἰς Σύναψιν τὸ 8 & $\frac{1}{3}$. ὅθεν ποιοῦμεν πρῶτον $\frac{8}{1}$ καὶ $\frac{1}{3}$, ἔπειτα $\frac{24}{3}$ $\frac{1}{3}$ τουτέστι $\frac{25}{3}$.

ΣΧΟΛΙΟΝ β'.

§. 81. Ὅταν δὲ τὸ ἄθροισμα ὑπάρχῃ Κλάσμα καταχρηστικὸν, μεταποιοῦμεν αὐτὸ εἰς ἀκέραιον ἀριθμὸν, διαιροῦντες τὸν ἀριθμητὴν διὰ τοῦ Παρονομαστοῦ. π. χ. ἐκ τῶν ἀνωτέρω Κλασμάτων τὸ μὲν $\frac{6}{5}$ μεταποιεῖται εἰς 1 $\frac{1}{5}$, τὸ δὲ $\frac{8}{8}$ εἰς 1. τὸ δὲ $\frac{17}{12}$ ἄγεται εἰς 1 $\frac{5}{12}$. τὸ δὲ $\frac{97}{70}$ εἰς 1 $\frac{27}{70}$.

ΠΡΟΒΛΗΜΑ β'.

§. 82. Νὰ ἀφαιρῶμεν Κλάσματα.

ΠΡΑΚΤΕΑ ἡ ΛΥΣΙΣ.

Καν. α'.) Ἄγομεν πρῶτον τὰ δοθέντα Κλάσματα εἰς τὸν αὐτὸν Παρονομαστὴν, ἐὰν δὲν ἔχωσι τὸν αὐτόν.

Καν. β'.) Ἔπειτα ἀφαιροῦμεν τὸν ἐλάσσονα ἀριθμητὴν ἀπὸ τοῦ μείζονος, καὶ οὕτω γέγονε τὸ ζητούμενον.

Π. χ. ἀφαιρεθέντος τοῦ $\frac{2}{5}$ ἀπὸ τοῦ $\frac{4}{3}$, μένει $\frac{2}{5}$.

ἐὰν δὲ ἀφαιρεθῇ $\frac{2}{3}$ ἀπὸ τοῦ $\frac{5}{6}$, μένει $\frac{3}{18}$.

ΔΕΙ͂ΞΙΣ.

Ἐπειδὴ Ποσὰ, καθὼς εἶναι τὰ Κλάσματα, ἔχοντα διαφόρους Παρονομαστὰς, δὲν δύνανται νὰ ἀφαιρεθῶσιν ἀπ᾽ ἀλλήλων. πρέπει λοιπὸν νὰ ἀναχθῶσιν εἰς ἕνα κοινὸν Παρονομαστὴν, ἐπειδὴ δὲ ζητεῖται ἡ Διαφορὰ τῶν μερῶν, ἀφαιρεῖται ὁ ἐλάσσων ἀριθμὸς τῶν μερῶν ἀπὸ τοῦ μείζονος, τουτέστιν ὁ μικρότερος ἀριθμητὴς ἀπὸ τοῦ μεγαλητέρου.

ΣΧΟΛΙΟΝ.

§. 83. Ὅταν τύχωσι Μικτοὶ ἀριθμοὶ, μεταποιοῦμεν πρῶτον τοὺς ἀκεραίους εἰς Κλάσματα κατὰ τὸν αὐτὸν τρόπον. π. χ. ἐὰν ζητῆται νὰ ἀφαιρεθῇ τὸ $\frac{2}{3}$ ἀπὸ τοῦ $2\frac{1}{2}$, μεταποιοῦμεν πρῶτον τὸ $2\frac{1}{2}$ εἰς $\frac{5}{2}$, ἔπειτα ἀφαιροῦμεν τὸ $\frac{2}{3}$ ἀπὸ τοῦ $\frac{5}{2}$ κατὰ τοὺς ἀνωτέρω Κανόνας, τουτέστιν ἀφ᾽ οὗ ἀναχθῶσι τὸ $\frac{2}{3}$ καὶ $\frac{5}{2}$ εἰς τὸν αὐτὸν Παρονομαστὴν καὶ γένωνται $\frac{4}{6}$, $\frac{15}{6}$, ἀφαιροῦμεν τὸ $\frac{4}{6}$ ἀπὸ τοῦ $\frac{15}{6}$ ὥστε ἀπολείπεται Διαφορὰ $\frac{11}{6}$ Κλάσμα καταχρηστικὸν τὸ ὁποῖον μεταποιηθὲν, ἔσεται $1\frac{5}{6}$.

ΠΡΟ'ΒΛΗΜΑ γ'.

§. 84. Νὰ πολλαπλασιάζωμεν Κλάσματα.

ΠΡΑΚΤΕ'Α ἢ ΛΥ'ΣΙΣ.

Καν. α'.) Πολλαπλασιάζομεν πρῶτον τοὺς ἀριθμητὰς πρὸς ἀλλήλους. τὸ δὲ ἐκ τῆς Πολλαπλασιάσεως Γινόμενον ἔσται ὁ καινὸς ἀριθμητής.

Καν. β'.) Ἔπειτα πολλαπλασιάζομεν καὶ τοὺς Παρονομαστὰς πρὸς ἀλλήλους, τὸ δὲ ἐκ τούτων Γινόμενον ὑπάρχει ὁ νέος Παρονομαστής. π. χ. τὸ $\frac{3}{4}$ πολλαπλασιασθὲν μετὰ τοῦ $\frac{7}{8}$, παρέχει $\frac{21}{32}$ καθάπερ δὴ καὶ τοῦ $\frac{9}{15}$ πολλαπλασιασθέντος μετὰ τοῦ $\frac{2}{3}$, προκύπτει $\frac{18}{45}$.

ΔΕΙ'ΞΙΣ.

Πολλαπλασίασις ἐστὶν ἡ Πρᾶξις διὰ τῆς ὁποίας εὑρίσκεται τοιοῦτός τις ἀριθμὸς, εἰς τὸν ὁποῖον περιέχεται ὁ ἕνας Παράγων τοσάκις, ὁσάκις περιέχεται ἡ Μονὰς εἰς τὸν ἕτερον Παράγοντα, ἀλλὰ μὴν ἐν τοῖς ἀνωτέρω οὕτως ἔχει, τουτέστι τὸ $\frac{3}{4}$ περιέχεται ἐν τῷ $\frac{21}{32}$ τοσάκις, ὁσά-

κις

κις ἡ 1 περιέχεται ἐν τῷ $\frac{7}{8}$. ἄρα ὕτω πρέπει νὰ γίνηται ἡ Πολλαπλασίασις τῶν Κλασμάτων.

ΠΡΟΒΛΗΜΑ δ'.

§. 85. Νὰ διαιρῶμεν Κλάσματα.

ΠΡΑΚΤΕΑ ἡ ΛΥΣΙΣ.

Καν. ά.) Ἀναςρέφομεν πρῶτον τὺς Ὅρυς τῦ Διαιρέτυ ὕτως, ὥςε ὁ μὲν πρώην ἀριθμητὴς νὰ γένῃ Παρονομαςὴς ὁ δὲ πρώην Παρονομαςὴς νὰ γένῃ ἀριθμητής.

Καν. β'.) Πολλαπλασιάζομεν ἔπειτα τὰ Κλάσματα, καθὼς ἐν τῷ ἀνωτέρω Προβλήματι εἴρηται, τυτέςι τὺς ἀριθμητὰς μετὰ τῶν ἀριθμητῶν, καὶ τὺς Παρονομαςὰς μετὰ τῶν Παρονομαςῶν. π. χ. ἔςω διαιρεθησόμενον τὸ $\frac{3}{4}$ διὰ τῦ $\frac{1}{2}$. ὅθεν ἀναςρέφομεν πρῶτον τὸν $\frac{1}{2}$ εἰς $\frac{2}{1}$, ἔπειτα πολλαπλασιάζομεν δι' αὐτῦ τὸ $\frac{3}{4}$, ὥςε προκύπτει διὰ τῆς Πολλαπλασιάσεως τὸ $\frac{6}{4}$, καὶ αὐτὸ εἶναι τὸ ζητύμενον Πηλίκον. ὡσαύτως καὶ τὸ $\frac{4}{9}$ διαιρεθὲν διὰ τῦ $\frac{2}{5}$ παρέχει τὸ $\frac{20}{18}$.

ΔΕΙΞΙΣ.

ΔΕΙΞΙΣ.

Εἴτε Κλάσμα δι᾽ ἀκεραίου, εἴτε ἀκέραιον διὰ Κλάσματος, εἴτε καὶ Κλάσμα διὰ Κλάσματος διαιρεῖται, εἰς κάθε περίστασιν ὁ Διαιρέτης σημαίνει, εἰς πόσα μέρη πρέπει νὰ διαιρεθῇ τὸ ὅλον, ἀλλὰ μὴν τοῦτο ἐν τοῖς Κλάσμασιν ὁ Παρονομαστὴς δεικνύει, ἄρα πρέπει τῷ ὄντι νὰ γένῃ Διαιρέτης ὁ Παρονομαστὴς καὶ οὐχὶ ὁ ἀριθμητής. ἂν τὰ 2 ἤθελον διαιρεθῇ εἰς 3 μέρη, ἔπρεπε νὰ εἶναι 3 ὁ Παρονομαστής. ὅθεν ἂν τὸ $\frac{1}{2}$ προτεθῇ νὰ διαιρεθῇ εἰς 3 μέρη, πρέπει νὰ εἶναι καὶ ὁ Παρονομαστὴς 3. ἀλλ᾽ ἐπειδὴ αὐτὸ τὸ ὅλον προελήφθη ὡς εἰς δύω μέρη διῃρημένον, καὶ ἤδη πάλιν πρόκειται νὰ διαιρεθῶσιν αὐτὰ τὰ ἡμίσεα εἰς 3 μέρη, διὰ τοῦτο πρέπει νὰ πολλαπλασιασθῶσι πρὸς ἀλλήλους καὶ οἱ δύω οὗτοι Διαιρέται, καὶ οὕτω, διαιρεθέντος τοῦ $\frac{1}{2}$ διὰ τοῦ 3, προκύπτει $\frac{1}{6}$. διότι ἂν τὸ ἀκέραιον ἐκτεθῇ ἐν Κλάσματι, ἔσται $\frac{1}{2}$ διαιρούμενον διὰ τοῦ $\frac{3}{1}$, καὶ ἀναστραφέντος τοῦ $\frac{3}{1}$ εἰς $\frac{1}{3}$, διὰ νὰ πλεσθῇ ἐπ᾽ αὐτῶν ὁ Πολλαπλασιασμός, ἔσται $\frac{1}{2}$ πολλαπλαζόμενον μετὰ τοῦ $\frac{1}{3}$, τουτέστι $\frac{1}{6}$ τὸ Πηλίκον.

Ἀκεραίου διαιρουμένου διὰ Κλάσματος, π. χ. 3 διὰ

τοῦ

τῦ $\frac{1}{2}$ · ἴσαι, ἄν τὸ ὅλον διαιρεθῇ διὰ 1, τὸ Πηλίκον ἴσον μὲ τὸ ὅλον. ἄν δὲ τὸ ἀκέραιον διαιρεθῇ διὰ Κλάσματος, πρέπει νὰ εἶναι τὸ πηλίκον μεῖζον τῦ ἀκεραίυ, ἢ τὰ μέρη τῦ ἀκεραίυ πρέπει νὰ εἶναι τοσῦτον πλείονα, ὅσον μικρότερα λαμβάνονται. ἄν ληφθῇ τὸ ἥμισυ τῶν μερῶν, πρέπει νὰ εἶναι δύω φοραῖς ὀλιγότερα, ἐὰν δὲ ληφθῶσι τὸ τρίτον τῶν μερῶν, πρέπει νὰ εἶναι τριπλασίως πλείονα, κ̀ ὕτως ἐφεξῆς. ὅθεν ἄν εἶναι νὰ διαιρεθῇ τὸ 3 διὰ τῦ $\frac{1}{2}$, τυτέςι νὰ ληφθῇ τὸ ἥμισυ αὐτῦ, πρέπει νὰ μεταβληθῇ εἰς μέρη διπλασίως πλείονα, λέγω νὰ πολλαπλασιασθῇ διὰ τῦ 2. ἄρα πρέπει ὁ Παρονομαςὴς τῦ Κλάσματος νὰ πολλαπλασιασθῇ μετὰ τῦ ἀκεραίυ. ἀφ᾽ ὗ δὲ τὸ ἀκέραιον ἐκτεθῇ ὡς Κλάσμα, τυτέςι $\frac{3}{1}$, πρέπει νὰ ἀναςραφῶσι κ̀ οἱ Ὅροι τῦ $\frac{1}{2}$, τυτέςι νὰ γένηται $\frac{2}{1}$, διὰ νὰ τελεσθῇ ἐπ᾽ αὐτῶν ἡ Πολλαπλασίασις, ὥςε ὁ Πολλαπλασιασμὸς γίνεται ἐν τοῖς Κλάσμασιν, ἀναστραφέντος τῦ Διαιρέτυ. Ὄντος δὲ Κλάσματος νὰ διαιρεθῇ διὰ Κλάσματος π. χ. τῦ $\frac{3}{4}$ διὰ τῦ $\frac{2}{5}$, πρέπει (ἐπειδὴ $\frac{3}{4}$ ἔχει νὰ μεταποιηθῇ εἰς πεμπτημόρια) νὰ γένωσι πλείονα κ̀ μικρότερα μέρη, τὸ ὁποῖον ἀποτελεῖται διὰ τῆς Πολλαπλασιάσεως τῦ 3 μετὰ τῦ 5. κ̀ ἐπειδὴ ἔχει νὰ διαιρεθῇ εἰς 2 τοιαῦτα μέρη, πρέπει ὁ Παρονομαστὴς 4 νὰ ληφθῇ δίς, νὰ πολλαπλασιασθῇ δηλονότι διὰ τοῦ 2. γίνεται ἄρα καὶ ἐνταῦθα ὁ Πολλαπλασιασμὸς, ἀναστραφέντος τοῦ Διαιρέτου. Ἡ αὐτὴ Δεῖξις ὑπάρχει, καὶ ὅταν τὰ Κλάσματα ἔχωσι τὸν αὐτὸν Παρονομαστήν, ἔνθα ὁ ἀριθμητὴς τοῦ Διαιρετέου διαιρούμενος διὰ τοῦ ἀριθμητοῦ τοῦ Διαιρέτου, παρέχει τὸ Πηλίκον. $\frac{3}{4}$ διαιρεθὲν διὰ τοῦ $\frac{1}{2}$, τουτέστι $\frac{6}{8}$ διὰ τοῦ $\frac{4}{8}$, παρέχει $\frac{48}{32}$, τὸ ὁποῖον ἐκτεθὲν διὰ μικροτέρων ἀριθμῶν, εἶναι $\frac{6}{4}$, ὡς πρότερον εἴρηται.

ΠΟΡΙΣΜΑ.

§. 86. Ἐντεῦθεν ἕπεται, ὅτι διὰ μὲν τῆς Πολλαπλασιάσεως τῶν Κλασμάτων ἡ Δύναμις ἐλαττοῦται, διὰ δὲ τῆς Διαιρέσεως αὐξάνει. ἐπειδὴ κατὰ μὲν τὴν πρώτην περίστασιν γίνεται τῷ ὄντι Διαίρεσις, κατὰ δὲ τὴν δευτέραν γίνεται Πολλαπλασιασμός· διότι ἂν ληφθῇ τὸ ἥμισυ τῆς Ποσότητος, τὸ ὁποῖον γίνεται διὰ τῆς Πολλαπλασιάσεως μὲ $\frac{1}{2}$, ἢ μὲ ἕτερόν τι Κλάσμα, διαιρεῖται αὐτὸ εἰς δύο μέρη, ἢ εἰς πλείονα κατὰ τὸ σημαινόμενον τοῦ Παρονομαστοῦ, ἂν ὅμως εἶναι νὰ διαιρεθῇ εἰς ἡμίσεια, εἰς τρίτα, ἢ τέταρτα, τὸ ὁποῖον πράττεται διὰ τῆς Διαιρέσεως τῶν Κλασμάτων. πρέπει κατ' ἀνάγκην νὰ προκύψωσι πλείονα μέρη, ἢ μείζων τις ἀριθμός, π. χ. 4 πολλαπλασιασθὲν διὰ τοῦ $\frac{1}{2}$, ἢ τὸ ἥμισυ τοῦ 4 εἶναι 2. ἐξ ἐναντίας δὲ 4 διαιρεθὲν εἰς ἡμίσεια, ἢ διαιρεθὲν διὰ τὸ $\frac{1}{2}$, ἔσται 8.

ΚΕΦΑ'ΛΑΙΟΝ ϛʹ.

Περὶ Δεκαδικῶν Κλασμάτων.

ΟΡΙΣΜΟ'Σ αʹ.

§. 87. Κλάσμα Δεκαδικὸν ἐστὶ τὸ ἔχον Παρονομαστὴν 10, ἢ 100, ἢ 1000, καὶ ὅλως, τὸ ἔχον Παρονομαστὴν μίαν Μονάδα μετὰ Μηδενικῶν χαρακτήρων προσκειμένην. π. χ. $\frac{3}{10}$, $\frac{7}{100}$, $\frac{5}{1000}$ κ. τ. τρία δηλονότι Δεκατημόρια, ἑπτὰ Ἑκατοστημόρια, πέντε χιλιοστημόρια.

ΠΟ'ΡΙΣΜΑ αʹ.

§. 88. Ἐπειδὴ τοίνυν πάντα ταῦτα τὰ Κλάσματα διαφέρουσι μόνον διὰ τοῦ ἀριθμοῦ τῶν ἐν τῷ Παρονομαστῇ Μηδενικῶν χαρακτήρων, διὰ τοι τοῦτο δύναται νὰ ἐκλείπωσιν οἱ Παρονομασταὶ, φθάνει μόνον νὰ δεικνύωνται ἐν τοῖς ἀριθμηταῖς, Πόσα Μηδενικὰ πρέπει νὰ ὑπάρχωσιν ἐν τῷ Παρονομαστῇ πλησίον τῆς Μονάδος. τοῦτο δὲ δύναται νὰ γένῃ μόνον διὰ τοῦ τόπου, τὸν ὁποῖον κατέχουσιν οἱ ἀριθμηταὶ ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ, τουτέστιν ἂν μὲν ὁ ἀριθμητὴς κατέχῃ ἐν τοῖς ἀριστεροῖς τὸν πρῶτον τόπον, ὁ Παρονομαστὴς ἔσται

Μονὰς

Μονὰς μεθ' ἑνὸς Μηδενικοῦ, λέγω, 10 ἐὰν δὲ ὁ ἀριθμητὸς εὑρίσκηται ἐν τῷ δευτέρῳ τόπῳ, ὁ Παρονομαστὴς ἔσαι Μονὰς μετὰ δύω Μηδενικῶν, λέγω, 100. ἂν δὲ ὁ ἀριθμητὸς ἔχῃ τὸν τρίτον τόπον, ὁ Παρονομαστὴς ἔσαι 1000. κ̀ οὕτως ἐφεξῆς. π. χ. 375 εἰσὶν $\frac{3}{10}$, $\frac{7}{100}$, $\frac{5}{1000}$, ἤτ' οὖν 3 Δεκατημόρια, 7 Ἑκατοσημόρια, 5 χιλιοστημόρια, ὡς κ̀ ἀνωτέρω.

Διὰ νὰ διακρίνωνται τὰ Δεκαδικὰ ταῦτα Κλάσματα ἀπὸ τῶν ἀκεραίων ἀριθμῶν, ὅταν ὑπάρχωσι, γράφομεν μετὰ τοὺς ἀκεραίους ἀριθμοὺς μίαν ὑποδιαστολὴν, κ̀ οὕτω διαςέλλονται τὰ Δεκαδικὰ ἀπὸ τῶν ἀκεραίων, οἷον 25, 37, τὸ ὁποῖον δηλοῖ ὅτι εἰσὶν εἴκοσι πέντε ἀκέραιοι ἀριθμοὶ, τρία Δεκατημόρια, ἑπτὰ Ἑκατοσημόρια.

Ὅταν δὲ πρὸ τῶν Δεκαδικῶν δὲν προηγῆται ἀκέραιός τις ἀριθμὸς, θέτομεν πρὸς δήλωσιν τούτε ἓν Μηδενικὸν, οἷον, 0, 375, ἤτοι μόνον τρία Δεκατημόρια, ἑπτὰ Ἑκατοσημόρια, πέντε χιλιοστημόρια.

ΣΧΟΛΙΟΝ.

§. 89. Ὅταν ἐν τοῖς Δεκαδικοῖς Κλάσμασι μένωσί τινες τόποι κενοὶ κ̀ ἄνευ σημασίας Δεκαδικῆς, πληροῦμεν τότε προσηκόντως τούτους τοὺς τόπους διὰ τῶν Μηδενικῶν χαρακτήρων. π. χ. Ὅταν ἔχωμεν νὰ ἐκθέσωμεν μόνον τρία χιλιοστημόρια, γράφομεν 0, 003. ἐπειδὴ δὲν ὑπάρχει μήτε ἀκέραιός τις ἀριθμὸς, μήτε τι Δεκατημόριον, μήτε Ἑκατοσημόριον, ἀλλὰ μόνον 3 χιλιοστημόρια. καθάπερ δὴ κ̀ 2, 3004 δηλοῖ δύω μὲν ἀκεραίους ἀριθμοὺς, τρία δὲ Δεκατημόρια, οὐδὲν Ἑκατοσημόριον, οὐδὲν χιλιοστημόριον, τέσσαρα Δεκαχιλιοστημόρια.

ΠΟΡΙΣΜΑ β'.

§. 90. Ἐπειδὴ ταῦτα τὰ Κλάσματα, κατὰ τοὺς ἑαυτῶν Παρονομαστὰς θεωρούμενα, αὐξάνουσιν ἀπὸ τῶν ἀριστερῶν πρὸς τὰ δεξιὰ, διὰ τοῦτο τὰ ἐν τῷ τέλει προστιθέμενα Μηδενικὰ ὅτι μείζονα ἔτι ἐλάσσονα παρέχουσι δύναμιν. π. χ. 0, 3 σημαίνει οὐδὲν μὲν ἀκέριαιον, τρία δὲ μόνον Δεκατημόρια, ὅπερ ταυτὸν ὑπάρχει μὲ τὸ 0, 3000000. ἐπειδὴ καὶ ἐνταῦθα τυγχάνει ἀκέραιον μὲν οὐδὲν, ἀλλὰ τρία Δεκατημόρια, οὐδὲν Ἑκατοστημόριον, οὐδὲν χιλιοστημόριον, οὐδὲν Δεκαχιλιοστημόριον κ. τ. διότι καὶ ὁ ἀριθμητὴς καὶ ὁ Παρονομαστὴς πολλαπλασιασμένος ἐστὶ διὰ τοῦ 10 ὅπερ τὴν Δύναμιν δὲν μετατρέπει. ὅθεν δύναταί τις χωρὶς νὰ λαμβάνη τινὰ μεταβολὴν ἡ Δύναμις, νὰ προσθέτη ἐν τῷ τέλει, ὅσα Μηδενικὰ καὶ βούλεται, τὸ ὁποῖον καὶ ἐνίοτε γίνεται χρήσιμον, διὰ νὰ ἠμπορῶμεν νὰ φέρωμεν δύω, τρία Κλάσματα τοῦ αὐτοῦ εἴδους εἰς ἕνα Ἴσον ἀριθμὸν χαρακτήρων, καὶ ὅλως ὠφελεῖ εἰς τὰς κατὰ ταῦτα πράξεις.

ΠΟΡΙΣΜΑ γ'.

§. 91. Ἐντεῦθεν ἕπεται, ὅτι οὗτοι οἱ χαρακτῆρες ἐνταῦθα δύνανται νὰ ἔχωσι μόνον μίαν Δύναμιν ὡς Δεκαδικήν. ἐπειδὴ δέκα Δεκατημόρια, τουτέστι $\frac{10}{10}$ εἰσὶν Ἴσα μὲ ἓν ἀκέραιον. τὸ δὲ $\frac{10}{100}$ Ἰσοδυναμεῖ μὲ ἓν Δεκατημόριον. ἐπειδὴ ἐξαλειφθέντος ἄνωθεν καὶ κάτωθεν ἑνὸς Μηδενικοῦ, μένει $\frac{1}{10}$. ὡσαύτως καὶ $\frac{10}{1000}$ δύναται Ἴσον μὲ ἓν Ἑκατοστημόριον. ἐπειδὴ ἀφ' οὗ ἀφαιρεθῇ ἀπὸ τῶν δύω μερῶν ἓν Μηδενικὸν, καταλείπεται $\frac{1}{100}$. καθὼς δὴ καὶ $\frac{10}{10000}$ εἶναι Ἴσον μὲ ἓν χιλιοστημόριον ἤτοι $\frac{1}{1000}$. ἡ δύναμις λοιπὸν αὐξάνει κατὰ τὸ Δεκαπλάσιον, καθὼς καὶ ἐν τοῖς ἀκεραίοις ἀριθμοῖς, καὶ ὁσάκις τις χαρακτὴρ μέχρι τῶν 10 αὐξάνει, τοσάκις πρέπει νὰ μεταφέρηται μία Μονὰς ἐν τῷ προηγουμένῳ τόπῳ ἀπὸ τῶν δεξιῶν εἰς τὰ ἀριστερὰ, καθὼς καὶ ἐν τοῖς ἀκεραίοις ἀριθμοῖς. ὅθεν γίνεται δῆλον, ὅτι ἡ Σύναψις, καὶ ἀφαίρεσις τῶν Δεκαδικῶν Κλασμάτων δύνανται νὰ γίνωνται οὕτω, καὶ νὰ λαμβάνωνται κατὰ τοὺς ἰδίους Κανόνας τῶν ἀκεραίων ἀριθμῶν.

ΠΟΡΙΣΜΑ δ΄.

§. 92. Ἐντεῦθεν εὐκόλως δύναταί τις νὰ συλλάβῃ, δύω Δεκαδικῶν Κλασμάτων ποῖον εἶναι μεῖζον τοῦ ἑτέρου, ὅταν ϗ τὰ δύω ἔχωσιν Ἴσον ἀριθμὸν χαρακτήρων, ἐκεῖνο ἔσαι μεῖζον, τοῦ ὁποίου οἱ χαρακτῆρες λαμβανόμενοι κατὰ τὴν συνήθη Σημασίαν, σημαίνουσι μείζονα Ποσότητα. π. χ. 4, 72 εἶναι μεῖζον τοῦ 4, 69, ἐπειδὴ τὰ ἑβδομήκοντα δύω εἰσὶ πλείονα τῶν ἑξήκοντα ἐννέα. ὁμοίως ϗ 4, 7211 δύναται πλεῖον τοῦ 4, 6999. ἐὰν δὲ δὲν ἔχωσιν Ἰσοπληθεῖς χαρακτῆρας, δυνάμεθα νὰ τὰ ἀποκαταστήσωμεν εἰς Ἰσοπληθεῖς, προσθέτοντες ἐν τῷ τέλει Μηδενικὰ, τὰ ὁποῖα ϗ δὲν μεταβάλλουσι τὴν δύναμιν, ὡς ἐν τῷ §. 90. εἴρηται, ϗ τότε μεῖζον Κλάσμα ἔσαι τὸ ἐμφαῖνον μείζονα Ποσότητα. π. χ. εἰσὶ Κλάσματα 4, 7, ϗ 4, 69999. ἀφ᾽ οὗ δὲ προστεθῶσιν εἰς τὸ 7 τέσσαρα Μηδενικὰ, τουτέσι 70000, εἶναι φανερὸν, ὅτι τὰ 70000 εἰσὶ πλείονα τῶν 69999, ἐπειδὴ ἂν ὑπογραφῶσιν εἰς αὐτὰ Ἴσοι Παρονομασαὶ, ἔσαι μεῖζον Κλάσμα ἐκεῖνο, ὅπερ ἔχει μείζονα ἀριθμητὴν, ὡς ἐν τῷ §. 67.

ΠΟΡΙΣΜΑ έ.

§. 93. Κατάδηλον δ᾽ ἔτι ἐσὶν, ὅτι ὅσον πλείονες Δεκαδικοὶ χαρακτῆρες προστίθενται, τοσοῦτον μᾶλλον τὸ Κλάσμα ἐγγίζει πρὸς τὸ ἀκέραιον, ὅμως οὐδέποτε ἐξισοῦται αὐτῷ. π. χ. τὸ 4, 999 εἶναι πλησιέσερον τοῦ νὰ γένῃ ἀκέραιος ἀριθμὸς 5, παρὰ τὸ 4, 99. ἐπειδὴ τὸ μὲν πρῶτον Κλάσμα διὰ νὰ γένῃ ἀριθμὸς ἀκέραιος, ἐλλείπει μόνον ἓν χιλιοσημόριον $\frac{1}{1000}$. τοῦ δὲ δευτέρου ἐλλείπει ἓν Ἑκατοσημόριον $\frac{1}{100}$. λοιπὸν ὅσον πλείονα ἐννέα προσγίνονται, τοσοῦτον μᾶλλον τὸ Κλάσμα πλησιάζει πρὸς τὸ νὰ γένῃ ἀκέραιον, πλὴν ἐπειδὴ ταῦτα τὰ προσγινόμενα μέρη εἰσὶ πάντοτε

ἐλάτ-

ἐλάττονα τοῦ Παρονομαστοῦ, εἶναι ἀδύνατον οὕτω νὰ ἀπαρτισθῇ ἐν ἀκέραιον, ἂν δὲν προστεθῇ ἐν τοῖς τελευταίοις χαρακτῆρσιν ἓν μέρος ἴσον μὲ τὸν αὐτὸν Παρονομαστὴν, τουτέστιν ἂν προσθέσωμεν ἐν τῷ 4, 999 ἓν χιλιοστημόριον, τὸ ὁποῖον ἔχει τὴν ὀνομασίαν τοῦ τελευταίου Παρονομαστοῦ, πορίζομεθα ἀκέραιον ἀριθμὸν 5.

ΠΌΡΙΣΜΑ ϛ'.

§. 94. Ἐπειδὴ τοίνυν τὸ Κλάσμα διὰ τῆς προσθέσεως τινὸς Δεκαδικοῦ χαρακτῆρος πλησιάζει μᾶλλον πρὸς τὸ γενέσθαι ἀκέραιον, καὶ ἐκ τούτου προκύπτει Πηλίκον τι ἀκριβέστερον, δύναταί τις νὰ ἐπαναλαμβάνῃ ἐφ' ὅσον ἐθέλει μίαν Διαίρεσιν, ἐπὶ τῆς ὁποίας πρὸς τῷ ζητουμένῳ Πηλίκῳ μένει καὶ λείψανόν τι, προστίθεται δηλονότι ἐν τῷ λειψάνῳ ἓν Μηδενικὸν καὶ οὕτω διαιρεῖ αὐτὸν τὸν νέον Διαιρετέον διὰ τοῦ προτέρου Διαιρέτου, τὸ δὲ ἐκ ταύτης τῆς Διαιρέσεως Πηλίκον ἔσται Δεκατημόρια. προσθέσας δ' αὖθις (ἐὰν ἀπολειφθῇ τι) καὶ ἕτερον Μηδενικὸν, ποιεῖ ἐπ' αὐτῶν ἔτι τὴν Διαίρεσιν, τὸ δὲ ἐκ τῆς Διαιρέσεως προκύπτον ἔσεται Ἑκατοστημόρια καὶ οὕτω ποιεῖ ἐφεξῆς. π. χ. ἐκ τῆς Διαιρέσεως τοῦ 26 διὰ τοῦ 8 ἀναφαίνεται πρῶτον Πηλίκον ἀκέραιος ἀριθμὸς 3, καὶ ἐναπολείπεται ἔτι καὶ 2, προστεθέντος δὲ ἐν τούτῳ τῷ 2 ἑνὸς Μηδενικοῦ, καὶ διαιρεθέντων τῶν 20 πάλιν διὰ τοῦ 8, προκύπτει Πηλίκον 2 Δεκατημόρια, καὶ μένει ἔτι λείψανον 4. εἰς τὸ ὁποῖον προστεθέντος αὖθις ἑνὸς Μηδενικοῦ, γίνονται 40, τὰ ὁποῖα διαιρεθέντα διὰ τοῦ 8, παρέχουσι Πηλίκον 5 Ἑκατοστημόρια ἄνευ τινὸς λειψάνου, ὥστε τὸ ἀληθὲς Πηλίκον ἐκ τούτων τῶν Διαιρέσεων εἶναι 3, 25, τουτέστιν ἀκέραιος ἀριθμὸς 3, δύω Δεκατημόρια, καὶ πέντε Ἑκατοστημόρια. κατ' αὐτὸν δὲ τὸν τρόπον δυνάμεθα καὶ ὁποιονδήποτε Κλάσμα νὰ μεταποιήσωμεν εἰς Δεκαδικὸν, προσθέτομεν δηλονότι ἐν τῷ ἀριθμητῇ ἓν Μηδενικὸν, καὶ διαιροῦμεν αὐτὸν οὕτω διὰ τοῦ Παρονομαστοῦ, τὸ δ' προκύπτον Πηλίκον ἔσται τότε Δεκαδικόν. π. χ. τὸ μὲν $\frac{1}{2}$ μεταποιεῖται εἰς τὸ 0, 5. τὸ δὲ $\frac{1}{4}$ εἰς τὸ 0, 25. τὰ δὲ $\frac{3}{4}$ ἀνάγεται εἰς τὸ 0, 75. τὸ δὲ $\frac{7}{8}$ εἰς τὸ 0, 875. τὸ δὲ $\frac{5}{9}$ εἰς τὸ 0, 5555. κ. τ. τοῦτο δ' ὅμως τὸ τελευταῖον Κλάσμα οὐδέποτε παρέξει ἀκριβὲς Πηλίκον. ἐπειδὴ ἐφ' ὅσον συνεχίζεται ἡ Διαίρεσις, μένει λείψανόν τι, καθὼς δὴ καὶ τὸ $\frac{4}{7}$ διαιρούμενον, ἀνάγεται εἰς τὸ 0, 571428571 κ. τ. καὶ δὲν δύναται νὰ φθάσῃ ποτὲ ἐπ' ἀκριβῆ Διαίρεσιν, τὰ τοιαῦτα ὀνομάζονται Κλάσματα προσεγγίζοντα, τὰ δὲ ἄλλα, ἐκ τῶν ὁποίων προκύπτει Πηλίκον ἀκριβὲς, καλοῦνται Κλάσματα ἀκριβῆ.

ΠΡΟ´ΒΛΗΜΑ α΄.

§. 95. Νὰ συνάπτωμεν Δεκαδικὰ Κλάσματα.

ΠΡΑΚΤΕ´Α ἡ ΛΥ´ΣΙΣ.

Καν. α΄.) Γράφομεν πρῶτον τοὺς ἀκεραίους ἀριθμοὺς ὑπ' ἀλλήλους ἐν τῷ προσήκοντι τόπῳ κατὰ τὸν ἤδη γνωςόν ἡμῖν τρόπον, ὥστε καὶ αἱ τούτων ὑποδιαστολαὶ νὰ εἶναι ἐν τῇ αὐτῇ Στήλ. ἔπειτα γράφομεν πρὸς τὰ δεξιὰ καὶ τὰ Δεκαδικὰ Κλάσματα ὑπ' ἄλληλα, τουτέστι τὰ Δεκατημόρια ὑπὸ τὰ Δεκατημόρια, τὰ Ἑκατοστημόρια ὑποκάτω τῶν Ἑκατοστημορίων. κ. τ. ὅταν δέ τις Σειρὰ τύχῃ ἔχουσα πλείονας Δεκαδικοὺς ἀριθμοὺς, ἀναπληροῦμεν τότε τοὺς κενοὺς τόπους τῶν ἄλλων διὰ Μηδενικῶν Ἰσαρίθμων.

Καν. β΄.) Συνάπτομεν πλέονταῖον αὐτὰ κατὰ τοὺς ἀκεραίους ἀριθμοὺς, ὡς καὶ ἐν τῷ κατωτέρῳ παραδείγματι.

οἷον

οἷον ἔστωσαν συναφθησόμεια 3,0506. ϗ 4,789, ϗ 6,62, ϗ 4, 753547. ὅθεν

3 , 050600
4 , 789000
6 , 620000
4 , 753647
19 , 213247

ΠΡΟΒΛΗΜΑ β.

§. 96. Νὰ ἀφαιρῶμεν Δεκαδικὰ Κλάσματα.

ΠΡΑΚΤΕΑ ἢ ΛΥΣΙΣ.

Καν. Γράφομεν τοὺς χαρακτῆρας τοῦ ἀφαιρετέου ὑπὸ τοὺς χαρακτῆρας τοῦ ἐλαττωτέου κατὰ τὸν ἀνωτέρω Κανόνα τῆς Συνάψεως, ἔπειτα πλοῦμεν ἐπ' αὐτῶν τὴν ἀφαίρεσιν κατὰ τὴν κοινὴν τῆς ἀφαιρέσεως Μέθοδον. π. χ. ἔστω ἀφαιρεθησόμενον τὸ 5, 0294 ἀπὸ τοῦ 16, 4325. ὅθεν

τὸ ἐλαττωτέον	16 , 4325.	ὡσαύτως ϗ	7 , 30000
τὸ ἀφαιρετέον	5 , 0294.		3 , 79468
ἡ διαφορὰ	11 , 4031.		3 , 50532

ΠΡΟΒΛΗΜΑ γ.

§. 97. Νὰ πολλαπλασιάζωμεν Δεκαδικὰ Κλάσματα.

ΠΡΑΚΤΕΑ ἡ ΛΥΣΙΣ.

Καν. α΄) Γράφομεν πρῶτον τὰ Κλάσματα ὑπ' ἄλληλα, ὡς ἀκεραίους ἀριθμοὺς, χωρὶς νὰ ἐκκόπτωμεν τοὺς χαρακτῆρας διὰ τῆς ὑποδιαστολῆς, ἔπειτα πολλαπλασιάζομεν τὸν Πολλαπλασιαστέον διὰ τοῦ Πολλαπλασιαστοῦ κατὰ τὸν κοινὸν τρόπον τῆς Πολλαπλασιάσεως.

Καν. β΄.) Μετὰ δὲ τὴν Πολλαπλασίασιν ἐκκόπτομεν δεξιόθεν ἀπὸ τοῦ Γινομένου τοσούτους χαρακτῆρας, ὅσοι Δεκαδικοὶ χαρακτῆρές εἰσιν ἐν ἀμφοτέροις τοῖς Παράγουσι. π. χ. ἔστω Πολλαπλασιασθησόμενον 4, 26 διὰ τοῦ 3, 62. ὅθεν

$$
\begin{array}{r}
426 \\
362 \\
\hline
852 \\
2556 \\
1278 \\
\hline
154212
\end{array}
$$

ἐπειδὴ τοίνυν κ᾽ εἰς τοὺς δύω Παράγοντάς εἰσι τέσαρες Δεκαδικοί χαρακτῆρες, πρέπει νὰ ἐκκοπῶσι δεξιόθεν κ᾽ ἀπὸ τοῦ Γινομένου ὁμοίως τέσαρες χαρακτῆρες διὰ τὰ Δεκαδικὰ Κλάσματα. ὅθεν τὸ ζητούμενον Γινόμενόν ἐστι 15, 4212.

ΔΕΙΞΙΣ.

Ἐν τῷ Πολλαπλασιασμῷ τῶν Κλασμάτων πολλαπλασιάζομεν τοὺς μὲν ἀριθμητὰς μετὰ τῶν ἀριθμητῶν, τοὺς

δὲ

δὲ Παρονομαστὰς μετὰ τῶν Παρονομαστῶν (§. 84.). τὰ δὲ δοθέντα Δεκαδικὰ Κλάσματα μετὰ τῶν ἀκεραίων, ἢ ἄνευ τούτων, εἰσὶν ἀριθμηταὶ, ἄρα πρέπει νὰ πολλαπλασιασθῶσι ταῦτα πρὸς ἄλληλα κατὰ τοὺς κοινοὺς Κανόνας. τὸ δὲ Γινόμενον τῶν Παρονομαστῶν θέλει ἔχῃ τοσαῦτα Μηδενικὰ, ὅσα ὁμοῦ εἰσιν ἐν ἀμφοτέροις τοῖς Παράγουσι Παρονομασταῖς, τὸ Γινόμενον ἄρα τῶν ἀριθμητῶν θέλει ἔχῃ τοιοῦτον Παρονομαστὴν, ὅστις ἔχει τοσαῦτα Μηδενικὰ, ὅσοι Δεκαδικοὶ χαρακτῆρές εἰσιν ἐν ἀμφοτέροις τοῖς Παράγουσιν. ὅθεν πρέπει νὰ ἐκκοπῶσιν ἀπὸ τοῦ Γινομένου τοσοῦτοι χαρακτῆρες διὰ τὰ Δεκαδικὰ Κλάσματα. τὸ ἀνωτέρω Παράδειγμα δύναται νὰ ἐκτεθῇ μετὰ τοῦ οἰκείου Παρονομαστοῦ οὕτω $\dfrac{426}{100}$ πολλαπλασιασθὲν μετὰ τοῦ $\dfrac{362}{100}$, ποιεῖ $\dfrac{154212}{10000}$, ἤτοι 15,4212. ὡσαύτως καὶ 3, 503 πολλαπλασιασθὲν μετὰ τοῦ 1, 2 παρέχει Γινόμενον 4, 2036.

ΣΧΟΛΙΟΝ α′.

§. 98. Ἂν ἐν τῷ Γινομένῳ προκύψωσι μόνον τοσοῦτοι χαρακτῆρες, ὅσοι Δεκαδικοὶ χαρακτῆρές εἰσιν ἐν ἀμφοτέροις τοῖς Παράγουσιν, ἅπαντες οἱ χαρακτῆρες τούτου τοῦ Γινομένου ἔσονται τότε Δεκαδικοὶ π. χ. 4, 134 πολλαπλασιασθὲν διὰ τοῦ 0, 2 παρέχει Γινόμενον 8268, καὶ ἐπειδὴ εἰς τοὺς δύω Παράγοντας εἰσὶ τέσσαρες Δεκαδικοὶ χαρακτῆρες, πρέπει ἅπαντες οἱ τέσσαρες χαρακτῆρες τούτου τοῦ Γινομένου νὰ εἶναι Δεκαδικοὶ, καὶ γράφονται οὕτω 0, 8268. ἡ δὲ Δεῖξις τούτου εἶναι ἡ αὐτὸ μὲ τὴν προτεθεῖσαν. ἐπειδὴ δύνανται ταῦτα νὰ ἐκτεθῶσι μετὰ τῶν ἑαυτῶν Παρονομαστῶν $\dfrac{4134}{1000}$, καὶ $\dfrac{2}{10}$, τὰ ὁποῖα πολλαπλασιασθέντα πρὸς ἄλληλα, παρέχȣσι $\frac{8268}{10000}$, κ᾽ ἐπειδὴ ὁ Παρονομαςὴς εἶναι μείζων τȣ̃ ἀριθμητȣ̃, τὸ Κλάσμα εἶναι ἀληθὲς ϗ κύριον, τὸ ὁποῖον ϗ ἀκέραιον ἀριθμὸν δὲν παρέχει.

ΣΧΟ'ΛΙΟΝ β'.

§. 99. Ὅταν δὲ ὦσιν ἐν τῷ Γινομένῳ χαρακτῆρες ὀλιγότεροι τῶν ἐν ἀμφοτέροις τοῖς Παράγȣσιν ὄντων, τότε πρέπει νὰ προσθέτωμεν ἐν αὐτῷ ἐπὶ τὰ ἀριςερὰ τόσα Μηδενικὰ, ὅσα εἶναι ἀναγκαῖα πρὸς συμπλήρωσιν τȣ̃ ἀριθμȣ̃ τῶν Δεκαδικῶν χαρακτήρων, ἐν δὲ τῷ τόπῳ τῶν ἀκεραίων πρέπει ἔτι νὰ γράφωμεν ἓν Μηδενικόν. τȣτέςιν ἂν ἐν τῷ Γινομένῳ εἰσὶ μόνοι τρεῖς χαρακτῆρες, ἐν ᾧ ἐν ἀμφοτέροις τοῖς Παράγȣσιν εἰσὶν ἕξ, πρέπει νὰ γράψωμεν πρὸ τȣ̃ Γινομένȣ πρὸς συμπλήρωσιν τρία Μηδενικὰ, ϗ ἔτι ἓν εἰς τὸν τόπον τῶν ἀκεραίων π. χ. 0, 02 πολλαπλασιασθὲν διὰ τȣ̃ 0, 0083, τȣτέςι 2 διὰ τȣ̃ 83, παρέχει Γινόμενον 166, τὸ ὁποῖον πρέπει νὰ ἐκτεθῇ ȣ̔́τω 0, 000166. ἐπειδὴ εἶναι $\frac{2}{100}$ πολλαπλασιαζόμενον μετὰ τȣ̃ $\frac{83}{10000}$, τῶν ὁποίων τὸ Γινόμενον ὑπάρχει $\frac{166}{1000000}$, ἤγȣν 0, 000166.

ΠΡΟ'ΒΛΗΜΑ δ'.

§. 100. Νὰ διαιρῶμεν Δεκαδικὰ Κλάσματα.

ΠΡΑΚΤΕ'Α ἡ ΛΥ'ΣΙΣ.

Καν. α') Γράφομεν τὰ διαιρεθησόμενα Κλάσματα κατὰ τὸν τρόπον τῶν ἀκεραίων ἀριθμῶν, χωρὶς νὰ ἐκκόπτωμεν

κόπτωμεν τοὺς Δεκαδικοὺς χαρακτῆρας διά τινος ὑποδιαστολῆς, ποιοῦμεν ἔπειτα ἐπ' αὐτῶν τὴν Διαίρεσιν, καθὼς καὶ ἐπὶ τῶν ἀκεραίων.

Καν. β'.) Μετὰ τὴν Διαίρεσιν ἐκκόπτομεν διὰ τὰ Δεκαδικὰ ἀπὸ τοῦ Πηλίκου τοσούτους χαρακτῆρας, ὅσους ὑπερέχουσιν οἱ Δεκαδικοὶ χαρακτῆρες τοῦ Διαιρετέου τῶν Δεκαδικῶν χαρακτήρων τοῦ Διαιρέτου. π. χ. ἔστω διαιρεθησόμενον 3,7036. διὰ τοῦ 4,7. ὅθεν γράφομεν αὐτὰ οὕτω

```
37036 | 47
      |----
        788
329
---
 413
 376
 ---
  376
  376
  ---
    0
```

Μετὰ τὴν Διαίρεσιν προέκυψε Πηλίκον 788, ἀλλ' ἐπειδὴ οἱ Δεκαδικοὶ χαρακτῆρες τοῦ Διαιρουμένου εἰσὶ τέσσαρες, οἱ δὲ Δεκαδικοὶ τοῦ Διαιροῦντος μόνον ἕνας, καὶ ἡ ὑπεροχὴ μεταξὺ τούτων εἰσὶ τρεῖς χαρακτῆρες, ἐκκόπτομεν διὰ Δεκαδικοὺς ἀριθμοὺς ἀπὸ τοῦ Πηλίκου τρεῖς χαρακτῆρας, τουτέστιν ἐνταῦθα λαμβάνομεν ὅλον τὸ Πηλίκον 788 ὥστε τὸ ζητούμενον εἶναι 0, 788.

ΕΤΕΡΟΝ ΠΑΡΑΔΕΙΓΜΑ.

Ἔστω διαιρούμενον τὸ 12, 236 διὰ τοῦ 2, 3. ὅθεν γίνεται

```
12236  | 23
         532
115
----
 073
  69
----
  046
   46
----
    0
```

ὥστε τὸ ζητούμενον Πηλίκον ἐστὶ 5, 32.

ΣΧΟΛΙΟΝ ά.

§. 101. Ὅταν μὲν οἱ Δεκαδικοὶ χαρακτῆρες τοῦ Διαιρετέου ὑπάρχωσιν Ἰσάριθμοι μὲ τοὺς Δεκαδικοὺς χαρακτῆρας τοῦ Διαιρέτου, τότε δὲν ἐκκόπτομεν ἀπὸ τοῦ Πηλίκου χαρακτῆρά τινα διὰ Δεκαδικά, ἀλλ᾽ ὅλον τὸ Πηλίκον μένει ἀνῆκον εἰς τὸν ἀκέραιον ἀριθμόν. ὅταν δὲ εἰς τὸν Διαιρετέον εἶναι Δεκαδικοὶ χαρακτῆρες ὀλιγώτεροι τῶν ἐν τῷ Διαιρέτῃ ὄντων Δεκαδικῶν, προσθέτομεν πρῶτον εἰς τὸν Διαιρετέον ἐν τοῖς δεξιοῖς τοσαῦτα Μηδενικά, ὅσα ἀρκοῦσι διὰ νὰ γίνωνται οἱ Δεκαδικοὶ χαρακτῆρες τοῦ Διαιρετέου Ἰσάριθμοι μὲ τοὺς Δεκαδικοὺς τοῦ Διαιρέτου, ἔπειτα τελοῦμεν τὴν Διαίρεσιν, καὶ τὸ πρῶτον Πηλίκον ἔσται Σημαντικὸν Ποσότητος ἀκεραίας. ἂν ὅμως προσθέσωμεν πλείονα Μηδενικά, ὁ ἀριθμὸς τῶν Δεκαδικῶν χαρακτήρων θέλει αὐξήσει ἐν τῷ Πηλίκῳ κατὰ τὸν ἀριθμὸν τῶν προ-

στιθε-

στιθεμένων Μηδενικῶν. π. χ. ἔςω διαιρεθησόμενον τὸ 181, 23 διὰ τῦ 25, 89. ὅθεν

18123 | 2589
18123 | 7 τὸ Πηλίκον, ὅπερ

καὶ Ποσότης ἀκέραιός ἐστι.

ἔςω ἔτι διαιρεθησόμενον τὸ 43, 5 διὰ τῦ 5, 26. ὅθεν προστεθέντος ἑνὸς Μηδενικῦ, γίνεται

4350 | 526
 | 8
4208

142

ὥςε Πηλίκον πρῶτον προέκυψε 8 καὶ ἐναπολείπεται ἔτι τὰ 142, εἰς τὰ ὁποῖα προστεθέντος ἑνὸς Μηδενικῦ, ἄρχονται τὰ Δεκαδικὰ Κλάσματα, καὶ δύναται νὰ συνελίζηται ἡ Διαίρεσις, ἐφ' ὅσον τις ἐθέλει νὰ προσθέτη Μηδενικὰ ἐν τῷ λειψάνῳ.

ΣΧΟ΄ΛΙΟΝ β.

§. 101. Ἐὰν ὁ Διαιρέμενος ἐλάττων τῦ Διαιρῦντος τυγχάνη, ἡ Διαίρεσις δὲν δύναται νὰ γένη ἐν ἀκεραίοις ἀριθμοῖς. ἐπειδὴ εἰς τοιαύτην περίςασιν ὑπάρχει Κλάσμα γνήσιον, τυτέςι κύριον. π. χ. ἔςω διαιρεθησόμενον τὸ 0, 045 διὰ τῦ 9 ἀκεραίυ, ἐκτεθέντων δὲ τύτων μετὰ τῶν οἰκείων Παρονομαςῶν, γίνεται $\frac{45}{1000}$ διαιρετέον διὰ τῦ $\frac{9}{1}$, ἢ γενομένης τῆς Διαιρέσεως, προκύπτει Πηλίκον $\frac{45}{9000}$, τὸ ὁποῖον εἶναι Κλάσμα κύριον, καὶ ἑπομένως δὲν δύναται

νὰ

νὰ διαιρεθῇ ὁ ἀριθμητὴς διὰ τοῦ Παρονομαστοῦ. ἐὰν δὲ τοῦτο τὸ Κλάσμα ἤθελε μεταποιηθῇ εἰς Κλάσμα Δεκαδικὸν κατὰ τὸ προτεθὲν τέταρτον Πόρισμα, πρέπει νὰ προστεθῶσιν ἐν τῷ ἀριθμητῇ Μηδενικά. καὶ ἐπειδὴ ἡ πρώτη Διαίρεσις δύναται νὰ ἀρχίσῃ, προστεθέντων μόνων τριῶν Μηδενικῶν, εἶναι δῆλον, ὅτι καὶ τὸ Πηλίκον ἐν μὲν τῇ ἀρχῇ θέλει ἔχῃ τρία Μηδενικά, τὸν δὲ ἐν τῷ τετάρτῳ τόπῳ χαρακτῆρα ἀριθμὸν πρῶτον, ὁ ὁποῖος ὑπάρχει χιλιοστημόριον. ἡ Διαίρεσις δύναται νὰ πραχθῇ οὕτω

```
  45      1 9000
          ------
           0,005
0000
-----
  450
  0000
  -----
  4500
  0000
  -----
  45000
  45000
  -----
      0
```

ΣΤΟΙΧΕΙ͂Α ΤΗ͂Σ ἈΛΓΈΒΡΑΣ

ΚΕΦΆΛΑΙΟΝ α΄.

ΓΕΝΙΚΑΙ῍ ἈΛΓΕΒΡΑΪΚΑΙ῍ ἸΔΈΑΙ.

ὉΡΙΣΜΌΣ α΄.

§. 1. ἌΛΓΕΒΡΑ ἐστὶ Γενικὴ ἀριθμητική, ἢ Ἐπιστήμη τῶν ἀφῃρημένων καὶ ἀορίστων, ἢ τῶν ἐν γένει καὶ καθόλου λαμβανομένων Ποσῶν, τὰ ὁποῖα ἐμφαίνονται διὰ τῶν τοῦ ἀλφαβήτου Γραμμάτων, τῶν ὁποίων ἡ σημασία εἶναι ἐπίσης ἀόριστος.

ΣΧΌΛΙΟΝ.

§. 2. Τρία πρέπει νὰ παρατηρῶμεν εἰς τὴν ἄλγεβραν προσεκτικῶς· πρῶτον, αὐτὰ τὰ Ποσά. δεύτερον, τὰς Μεταβολάς, ἢ τὰ Πάθη, εἰς τὰ ὁποῖα ὑπόκεινται αὐτὰ τὰ Ποσά, καὶ τρίτον, τὰς σχέσεις, τὰς ὁποίας πρὸς ἄλληλα ἔχουσι τὰ Ποσά, περὶ ἑκάστου τούτων τῶν

τριῶν

τερῶν μεταχειριζόμεθα ἴδια Σημεῖα, ἢ Γράμματα, ὡς ἀκολούθως.

ΥΠΟΘΕΣΙΣ α'.

§. 3. Κάθε Ποσὸν ἐκφράζεται ϗ ἐκδηλοῦται διὰ τῶν Γραμμάτων α, β, γ, δ, κτ. ϗ αὐτὰ εἶναι τὰ Σημεῖα τῶν ποσῶν. ὡς τόσον τὰ μὲν ἐγνωσμένα, ἢ διδόμενα Ποσὰ ἐμφαίνομεν διὰ τῶν πρότων Γραμμάτων α, β, γ, μέχρι τοῦ μ. Τὰ δὲ ἄγνωσα, ἢ ζητούμενα, διὰ τῶν πλευταίων, φ, χ, ψ, ω, ἐντεῦθεν ἕπεται.

ΟΡΙΣΜΟΣ β'.

§. 4. Ἔκθεσις ἀλγεβραϊκὴ ἐςὶν ἕν, ἢ πλέονα Μεγέθη (Ποσὰ) παρισάμενα δι' ἑνὸς, ἢ πλειόνων Γραμμάτων. ὅθεν τὰ Ποσὰ τὰ δι' ἑνὸς μόνου Γράμματος παρισάμενα, ὀνομάζονται ἁπλᾶ, ὡς α, β, γ, ὁμοῦ δὲ λαμβανόμενα ϗ διὰ πλειόνων Γραμμάτων ἐκτεθέμενα, ὀνομάζονται σύνθετα. ὡς αβ, βδε, κ. τ. ἐπ τὰ ἁπλᾶ ϗ Σύνθετα Ποσὰ μόνα τιθέμενα ὀνομάζονται ἀσύμπλεκτα, ὡς α, αβ, αβγ, δε, χχ· τὰ ὁποῖα λέγονται ϗ Μέλη, ἢ Ὅροι. ὅταν δὲ μετ' ἄλλων συμπλέκωνται, ϗ συνάπτωνται διὰ τῶν (§. 6.) Σημείων, τότε λέγονται Ποσότητες Συμπεπλεγμέναι, ὡς αβ+εδ. ἢ α+β, ἢ γ−δ. κάθε δὲ

Πο-

Ποσότης, ἥτις συνίςαται ἐξ ἑνὸς μόνου μέλους ὀνομάζεται Μονομερὴς, ἢ Μονομελὴς, καθὼς $\alpha\beta\gamma$, ἢ α, ἢ $\gamma\delta$. ἥτις δὲ σύγκειται ἐκ δύω Μελῶν, ὀνομάζεται Διμερὴς, ἢ Δεμελὴς, ὡς $\alpha\beta + \gamma\delta$. ἐὰν δὲ σύγκειται ἐκ τριῶν, λέγεται Τριμερὴς, ὡς $\alpha - \gamma\delta + \varepsilon$, καὶ ὅλως, ὅταν σύγκειται ἐκ πολλῶν μελῶν, καλεῖται Πολυμερής. Τὰ Ποσὰ ἔτι εἰσὶν ἢ Ὁμοειδῆ, ἢ Ἑτεροειδῆ. καὶ Ὁμοειδῆ μὲν ὀνομάζονται, ὅσα διὰ τῶν ἰδίων Γραμμάτων ἐμφαίνονται, ἔχοντα ἅμα καὶ τὸν αὐτὸν ἀριθμὸν τῶν Γραμμάτων. οἷον $\alpha\beta$ καὶ $\alpha\beta$. $\gamma\gamma\delta$ καὶ $\gamma\gamma\delta$. καὶ ὅσα πρὸς τούτοις ἔχουσι καὶ τὸν αὐτὸν Δυναμοδείκτην (ἢ Βαθμοδείκτην κατ' ἄλλους) (*) ἐπὶ τοῦ ἰδίου Γράμματος κείμενον, οἷον $\alpha^2\beta$ καὶ $\alpha^2\beta$, τὰ ὁποῖα ἂν τύχῃ νὰ ἔχωσι καὶ Σημεῖα, ἢ Συνεργοὺς διαφόρους, οἷον $3\alpha^2\beta$ καὶ $-2\alpha^2\beta$, πάλιν εἰσὶν ὁμοειδῆ. ἐπειδὴ ἡ ταυτότης, ἢ ἡ ἑτερότης τῶν Σημείων, ἢ Συνεργῶν δὲν συνεργεῖ καθόλου εἰς τὸ νὰ εἶναι ὁμοειδῆ ἢ Ἑτεροειδῆ τὰ Ποσά. Ἑτεροειδῆ δὲ Ποσὰ προηγουμένως καὶ κυρίως ὀνο-

(*) Τί δὲ σημαίνει αὕτη ἡ λέξις, ὅρα ἐν τοῖς ἑπομ. §. 44.

ὀνομάζονται, ὅσα δὲν ἐμφαίνονται διὰ τῶν ἰδίων Γραμμάτων, μήτε ἔχουσι τὸν αὐτὸν ἀριθμὸν τῶν γραμμάτων. π. χ. τὸ αβγ εἶναι Ἑτεροειδὲς τοῦ αβ. ἐπειδὴ τὸ γ ἐκ τοῦ ἑτέρου Μέρους ἐλλείπει. ἑπομένως δὲ Ἑτεροειδῆ Ποσά εἰσι, καὶ ὅσα δὲν ἔχουσι τὸν ἴδιον Δυναμοδείκτην, ἢ ὅσα ἔχουσι μὲν τὸν ἴδιον, δὲν τὸν ἔχουσιν ὅμως ἐπὶ τοῦ ἰδίου Γράμματος ἐπικείμενον. π. χ. τὸ Ποσὸν $α^2βγ$ εἶναι Ἑτεροειδὲς τοῦ αβγ. ἐπειδὴ μόνον τὸ α τὸ ἐν ἐκείνῳ ἔχει ἐφ' ἑαυτοῦ Δυναμοδείκτην τὸν 2. μάλιστα δὲ Ἑτεροειδῆ εἰσι τὰ $αβγ^2$, καὶ $αβδ^2$. ἐπειδὴ μήτε ἐκ τῶν αὐτῶν Γραμμάτων ὅλως συνίστανται, μήτε ἐπὶ τοῦ αὐτοῦ Γράμματος ἔχουσι τὸν Δυναμοδείκτην.

ΣΧΟΛΙΟΝ.

§. 5. Δὲν θέλει μᾶς φανῇ παράξενος ἡ ἀόριστος Δύναμις (Σημασία) τῶν Γραμμάτων, ὅταν λάβωμεν κατὰ νοῦν τοὺς ἀφηρημένους ἀριθμούς, π. χ. ὅτι ὁ 20 ἀριθμὸς δύναται νὰ σημαίνῃ ἢ 20 ἀνθρώπους, ἢ 20 Ἵππους, ἢ 20 Γρόσια, ἢ ὁποιασδήποτε εἴκοσι Ὁμοειδεῖς Μονάδας, τὸ ὁποῖον κρέμαται ἐκ τῆς θελήσεως ἑκάστου. Τὰ δὲ Γράμματα πρὸς τῇ ἀοριστίᾳ δύνανται νὰ σημαίνωσι καὶ γενικώτερον. ἐπειδὴ τὸ α, ἢ β π. χ. δύναται νὰ ληφθῇ σημαντικὸν 10 ἀνθρώπων, ἢ 100 Ἵππων, ἢ 300 Δένδρων, καὶ ὅλως δύναται νὰ ληφθῇ ἓν Γράμμα ὡς παραστατικὸν πάσης δυνατῆς πλήθους, ἐξ ὁποιασδήποτε Ποσότητος· ἀφ' οὗ ὅμως διορίσωμεν τὴν σημασίαν ἑνὸς Γράμματος, ἀνάγκη τότε νὰ ἐμμένωμεν εἰς τὸν διορισμὸν μέχρι τέλους τοῦ ἀνὰ χεῖρας ὑπολογισμοῦ.

ΥΠΟ-

ΥΠΟΘΕΣΙΣ β.

§. 6. Διὰ νὰ φανερώνωμεν τὰς Μεταβολὰς, ἢ τὰ Πάθη, εἰς τὰ ὁποῖα ὑπόκεινται αὐτὰ τὰ διὰ τῶν Γραμμάτων ἐκτεθέμενα Ποσὰ, συνεθίζομεν νὰ μεταχειριζώμεθα τὰ ἑξῆς Σύμβολα (Σημεῖα), οἷον τὸ $+$ Σύμβολον λαμβάνομεν δηλωτικὸν προσθέσεως, τὸ ὁποῖον ἀπαγγέλλεται εἰς τὴν φωνὴν, Πλέον. π. χ. ὅταν θέλωμεν νὰ προσθέσωμεν τὸ α εἰς τὸ β, γράφομεν τότε $α + β$ τουτέστι α πλέον, β, ἤγουν β. Τὸ δὲ Σύμβολον $-$ λαμβάνεται σημαντικὸν ἀφαιρέσεως ἢ Ἐλλείψεως, ἢ Στερήσεως, τὸ ὁποῖον ἐκφωνεῖται Ἧττον π. χ. ἐὰν θέλωμεν νὰ ἀφαιρέσωμεν ἀπὸ τοῦ α τὸ β. γράφομεν οὕτω $α - β$, τουτέστι α Ἧττον β, Τοῦ δὲ Πολλαπλασιασμοῦ Σημεῖον μεταχειριζόμεθα τὸ $\times$, ἢ μίαν στιγμὴν (.), π. χ. ὅταν θέλωμεν νὰ πολλαπλασιάσωμεν τὸ α μετὰ τοῦ β, ποιοῦμεν οὕτως $α \times β$, ἢ $α \,.\, β$, ἢ $αβ$, καὶ ἐκφωνοῦμεν οὕτω, τὸ α πολλαπλασιαζόμενόν ἐστι μετὰ τοῦ β, ἢ ἐπὶ τὸ β. ἐὰν δὲ ἔχωμεν νὰ πολλαπλασιάσωμεν ἓν Συμπεπλεγμένον Ποσὸν, ποιοῦμεν διὰ τῆς Παρενθέσεως οὕτω $(α - β)\, γ$, καὶ τότε παραλιμπάνεται τὸ Σημεῖον τοῦ Πολλασιασμοῦ, τὸ τοιοῦτον δυνάμεθα καὶ οὕτω νὰ φανερώσωμεν $\overline{α - β} \times γ$. Ἡ Διαίρεσις τέλος ἐμφαίνεται διὰ διττῶν Σημείων, δηλαδὴ ἢ διὰ δύω στιγμῶν, ἢ διὰ Γραμμῆς μεταξὺ τοῦ Διαιρέτου καὶ Διαιρουμένου κειμένης, ὡς εἰς τὰ Κλάσματα, οἷον, $α : β$ ἢ $\frac{α}{β}$. τουτέστι τὸ α διαιρούμενόν ἐστι διὰ τοῦ β. προσέτι $(α - β) : (γ - δ)$ τουτέστι α ἧττον β διαιρεῖται διὰ τοῦ γ ἧττον δ. ἢ ϗ οὕτως $\overline{\alpha - \beta} : \overline{\gamma - \delta}$,

ἢ $\dfrac{\alpha - \beta}{\gamma - \delta}$.

ΠΟ'ΡΙΣΜΑ.

§. 7. Ἐκ τῶν εἰρημένων ἕπεται, ὅτι, ταῦτα τὰ Σύμβολα δεικνῦσι μόνον τὰ Πάθη τῶν Ποσῶν χωρὶς νὰ μεταβάλλωσι παντάπασι τὴν δύναμιν αὐτῶν. π. χ. + α σημαίνει, ὅτι τὸ α πρέπει νὰ προστεθῇ. ϗ — α δηλοῖ, ὅτι τὸ α πρέπει νὰ ἀφαιρεθῇ. ἐπομένως διὰ τῶν Σημείων δὲν μεταβάλλονται τὰ Ποσὰ, ἀλλὰ δι' αὐτῶν ἐμφαίνεται μόνον, πῶς νὰ μεταχειρισθῶμεν τὸ Ποσὸν, ἢ πῶς νὰ τὸ θεωρήσωμεν.

Υ'ΠΟ'ΘΕΣΙΣ γ'.

§. 8. Τέλος ἡ Σχέσις, τὴν ὁποίαν ἔχουσι τὰ Ποσὰ πρὸς ἄλληλα, ἐμφαίνεται διὰ δύω στιγμῶν (:) ὡς α : β. θέλοντες δὲ νὰ δείξωμεν, ποία Ποσότης εἶναι μείζων, ϗ ποία ἐλάσσων, μεταχειριζόμεθα τὰ Σύμβολα > ϗ ἀνάπαλιν <, οὕτως ὅμως, ὥστε ἡ μὲν Συνοχὴ τῶν δύω Γραμμῶν νὰ τείνηται πάντοτε πρὸς τὴν ἐλάσσονα Ποσότητα, τὰ δὲ δύω ἄκρα αὐτῶν νὰ νεύωσι πρὸς τὴν μείζονα. οἷον α > β σημαίνει, ὅτι τὸ α μεῖζον ἐστὶ τοῦ β, ϗ α < β δηλοῖ, ὅτι τὸ α ἔλαττόν ἐστι τοῦ β. τούτων τὸ μὲν > δύναται νὰ ὀνομασθῇ ἔσω Νενδικῆσαι, τὸ δὲ < ἔξω Νενδικῆσαι. αἱ δὲ δύω αὗται Γραμμαὶ = σημαίνουσιν Ἰσότητα, οἷον ἐπὶ τοῦ α = β φανερώνει, ὅτι τὸ α εἶναι ἴσον τῷ β. Τὸ δὲ Σύμβολον ∽ Ὁμοιότητα δηλοῖ· οἷον ἐπὶ τοῦ χ ∽ ψ φανερώνει, ὅτι τὸ χ εἶναι ὅμοιον τῷ ψ. Τὸ δὲ Σημεῖον ∞ εἶναι ἀπειρίας σημαν-

τικόν.

τικόν. ἐπειδὴ ὅτι ἂν τεθῇ, ἐμφαίνει Ποσὸν ἀπειρίας.

ΣΧΟΛΙΟΝ α.

§. 9. Ἐπεκράτησε ϗ χρῆσις εἰς τοὺς Μαθηματικοὺς νὰ θεωρῶσιν ἐνίοτε τὰς Ποσότητας κατὰ τὸ παρ' αὐταῖς εὑρισκόμενον Σύμβολον. ὅθεν ἡ Ποσότης ἡ ἔχουσα τὸ Σύμβολον +, ὀνομάζεται Καταφατική, ἢ Θετική, τοῦτ' ἔστι μία Ποσότης τῷόντι ὑπάρχουσα. ἐκείνη δὲ ὅπου ἔχει τὸ Σημεῖον −, λέγεται Ἀποφατική, ἢ Στερητική τουτέστι Ποσότης ἀποῦσα, ἢ ἀφαιρετική, π. χ. ἂν ὁ Πέτρος ἔχῃ 10 Γρόσια, γράφομεν τὸ Σημεῖον +, τὸ ὁποῖον σημαίνει, ὅτι ὁ Πέτρος κέκτηται ἀληθῶς αὐτὰ τὰ Γρόσια· ἐὰν ὅμως χρεωστῇ εἰς τὸν Παῦλον 10 Γρόσ. τότε δὲν ἔχει τίποτε. ἐπειδὴ χρεωστεῖ τόσα, ὅσα ἔχει, ϗ ἀφ' οὗ ἀφαιρεθῶσι τὰ 10 ἀπὸ τῶν 10, τουτέστι 10 − 10, μένει = 0. ἂν δὲ χρεωστῇ 20 Γρόσ. τότε ὄχι μόνον δὲν ἔχει οὐδέν, ἀλλ' ἀκόμι ἐλλείπει (τουτέστι ἔχει ὀλιγώτερον) τοῦ μηδενός, τὸ ὁποῖον δηλοῦται διὰ τοῦ Σημείου −. ἡ Κατάστασις ἄρα τοῦ Πέτρου εἶναι − 10, τὸ ὁποῖον δεικνύει, ὅτι χρεωστεῖ 10, ἂν δὲ ἀφαιρεθῶσι τὰ 20 ἀπὸ τῶν 10, μένουσι ἔτι 10 ἀφαιρετικά, ἤτοι 10 − 20, ὅπερ ποιεῖ − 10. τουτέστι τὸ χρέος εἶναι 10 Γρόσ. ἀφ' οὗ κατανοήσωμεν αὐτὴν τὴν ἰδέαν ἐντελῶς, δὲν θέλομεν δυσκολυνθῇ εἰς τὰς μεταβολὰς τῶν Ποσῶν, ὅπου θέλομεν ἐντύχῃ.

ΣΧΟΛΙΟΝ β.

§. 10. Κάθε Ποσότης πρέπει νὰ ἔχῃ ἓν Σημεῖον πρὸ ἑαυτῆς κείμενον, διὰ νὰ διακρίνηται, ἂν αὐτὴ εἶναι προσθετική, ἢ ἀφαιρετική. ὅταν ὅμως μία Ποσότης Καταφατικὴ εἶναι Μονομερής, ἢ εὑρίσκηται εἰς τὴν ἀρχὴν ἑτέρων Ποσοτήτων συμπεπλεγμένως, τότε τὸ Σημεῖον + δὲν εἶναι ἀνάγκη νὰ πρόσκηται εἰς αὐτὴν ἐνεργείᾳ. ἐπειδὴ γέγονεν εἰς χρῆσιν νὰ ἐννοῆται ἔξωθεν. οἷον ἐκ τοῦ + α ὡς Μονομεροῦς ὄντος, δύναται νὰ ἐλλείπῃ τὸ Σημεῖον +, ϗ νὰ μένῃ μόνον α. ὡσαύτως ϗ τὸ + α + β + γ δύναται νὰ γραφῇ ἄνευ τοῦ πρώτου Καταφατικοῦ Σημείου, οἷον α + β + γ.

ΣΧΟ-

ΣΧΟ'ΛΙΟΝ γ'.

§. 11. Ἐπειδὴ συμβαίνει ἐνίοτε νὰ λαμβάνωμεν τὰς αὐτὰς Ποσότητας πολλάκις, διὰ τοῦτο ἐκθέτομεν τὸ τοιοῦτον διὰ τῶν ἀριθμητικῶν χαρακτήρων, ἀμέσως πρὸ τοῦ Γράμματος τιθεμένων. π. χ. ὅταν πρέπῃ νὰ λάβωμεν τὸ α τρεῖς, τουτέστιν $\alpha+\alpha+\alpha$, τότε γράφομεν οὕτω 3α. διότι 3α εἶναι τὸ αὐτὸ μὲ $\alpha+\alpha+\alpha$. οὗτοι δὲ οἱ ἀριθμοὶ, οἵτινες τίθενται πρὸ τῶν Γραμμάτων κατ' αὐτὸν τὸν τρόπον ἄνευ τινὸς Σημείου μεταξὺ αὐτῶν καὶ τῶν Γραμμάτων, ὀνομάζονται Συνεργοὶ, ἢ Συμπράκτορες.

Ο'ΡΙΣΜΟ'Σ γ'.

§. 12. Συνεργὸς καλεῖται ὁ πρὸ τοῦ Γράμματος ἀμέσως τιθέμενος ἀριθμὸς, ὅστις σημαίνει, ποσάκις πρέπει νὰ λάβωμεν τὴν διὰ τοῦ Γράμματος ἐκείνου παρισταμένην Ποσότητα, ἢ διὰ τίνος ἀριθμοῦ πρέπει αὐτὴ νὰ πολλαπλασιασθῇ. Ὅταν δὲ δὲν ὑπάρχῃ κανένας Συνεργὸς πρὸ τοῦ Γράμματος, τότε ἐννοεῖται ἔξωθεν ἡ Μονὰς, ἥτις ἐνεργείᾳ δὲν γράφεται πώποτε. π. χ. $\alpha\beta$ εἶναι $1\alpha\beta$. $2\beta\beta$ εἶναι $=\beta\beta+\beta\beta$, ἢ τὸ $\beta\beta$ εἶναι πεπολλαπλασιασμένον μετὰ τοῦ 2.

ΣΧΟ'ΛΙΟΝ.

§. 13. Ἡ Ἑτερότης (διαφορότης) τῶν Συνεργῶν δύω Ποσοτήτων δὲν μεταβάλλει τὸ Ὁμοειδὲς ἢ ἑτεροειδὲς τῶν Ποσοτήτων. διότι π. χ. $6\alpha\alpha$ καὶ $3\alpha\alpha$ Ποσὰ καὶ μ' ὅλον ὁποῦ ἔχουσι διαφόρους Συνεργοὺς, γοὶ εἰσὶν ὅμως πάλιν ἀλλήλοις Ὁμοειδῆ. ὅμως 6α καὶ 6γ εἰσὶν ἀλλήλοις Ἑτεροειδῆ, καθὼς πάλιν καὶ $5\alpha\alpha\alpha$ & $5\alpha\alpha$ εἶναι μεταξὺ των ἀνόμοια Ποσά, ὡς εἴρηται (§. 4.).

ΚΕΦΑΛΑΙΟΝ β'.

Περὶ Ἀλγεβραϊκῶν λογισμῶν.

ΠΡΟΒΛΗΜΑ α.

§. 14. Νὰ ἐκθέτωμεν τὰ δοθέντα Μέλη κατὰ τὸν δέοντα καὶ ἁπλούστατον τρόπον.

ΛΥΣΙΣ, ἢ ΠΡΑΚΤΕΑ.

1.) Τὰ Μέλη, καὶ κάθε Γράμμα ἐν τῷ αὐτῷ Μέλει (κἄν τε Συμπεπλεγμένα, κἄν τε ἀσύμπλεκτα τύχωσι τὰ Ποσὰ) πρέπει νὰ γράφωνται κατὰ τὴν τάξιν τοῦ ἀλφαβήτου, καὶ νὰ προσπαθῶμεν, εἰ δυνατόν, νὰ εἶναι τὸ πρῶτον Μέλος πάντοτε Καταφατικόν; π. χ. τὸ δοθὲν Ποσὸν $\beta-\gamma+\alpha+\zeta\delta$ πρέπει νὰ γραφθῇ εἰς τοιαύτην τάξιν, $\alpha+\beta-\gamma+\delta\zeta$. ὁμοίως καὶ τὸ $8\zeta\beta-10\beta\alpha\gamma+6\alpha$ νὰ μετατεθῇ εἰς τοιαύτην $6\alpha-10\alpha\beta\gamma+8\beta\zeta$.

2.) Τὰ ὅμοια, ἢ ὁμοειδῆ Μέλη πρέπει νὰ ἀνάγωνται κατὰ τὰ Σημεῖά των καὶ Συνεργοὺς των εἰς ἓν Μέλος, ὅπερ καὶ Ἐπιτομὴ ὀνομάζεται, καὶ τοῦτο γίνεται κατὰ τοὺς ἑξῆς τρεῖς Κανόνας.

Καν. ά.) Ἤ Συνάπτομεν τοὺς Συνεργοὺς τῶν Μελῶν (ἐὰν αὐτὰ τύχωσι ταυτοσύμβολα), κ̓ θέτομεν πρὸ τοῦ Κεφαλαίου πάλιν τὸ αὐτὸ Σύμβολον τῶν συναπτομένων Μελῶν, καθὼς ἐπὶ τῶν Α΄ Ὑποδειγμάτων.

Καν. β΄.) Ἤ ἀφαιροῦμεν (ἂν τύχωσι τὰ Μέλη ἑτεροσύμβολα) τοὺς Συνεργοὺς αὐτῶν, τουτέστι τὸν ἐλάττονα ἀπὸ τοῦ μείζονος, κ̓ τότε θέτομεν πρὸ τῆς Διαφορᾶς τὸ Σύμβολον τοῦ μείζονος. ὡς ἐπὶ τῶν Β΄. Ὑποδειγμάτων γίνεται.

Καν. γ΄.) Ἤ ἐξαλείφομεν ἀμοιβαίως τὰ ὁμοειδῆ Μέλη, ἂν τύχῃ νὰ ἔχωσι Συνεργοὺς μὲν τοὺς αὐτοὺς, Σύμβολα ὅμως διάφορα, ὡς ἐπὶ τῶν Γ. Ὑποδειγμάτων δηλοῦται σαφέστερον.

ΥΠΟΔΕΙΓΜΑΤΑ ΚΑΤΑ' ΤΟ'Ν ά. ΚΑΝ.

$\alpha\beta + \alpha\beta + \gamma\delta$ γίνεται διὰ τῆς προσθ. $2\alpha\beta + \gamma\delta$.
$2\alpha - 2\delta + 5\alpha - 6\delta$ γίνεται διὰ τῆς προσθ. $7\alpha - 8\delta$.
$\alpha\alpha + 2\alpha\gamma + 3\alpha\gamma$ γίνεται $\alpha\alpha + 5\alpha\gamma$.

ΥΠΟΔΕΙΓΜΑΤΑ ΚΑΤΑ' ΤΟ'Ν β΄. ΚΑΝ.

$3\alpha\beta + 2\alpha\beta\beta - \alpha\beta$ γίνεται διὰ τῆς ἀφαιρ. $2\alpha\beta + 2\alpha\beta\beta$.
ὁμοίως $2\alpha + \delta - 7\alpha$ γίνεται $\delta - 5\alpha$.

ΥΠΟΔΕΙΓΜ. ΚΑΤΑ' ΤΟ'Ν γ΄. ΚΑΝ.

$\alpha\alpha + 2\alpha\beta\beta + 3\alpha\alpha - 2\alpha\beta\beta$ ἐγκαταλείπεται διὰ τῆς ἀμοιβαίας ἐξαλείψεως $4\alpha\alpha$.
ὁμοίως κ̓ $\beta\delta - \beta\delta\zeta + 2\beta\delta + 2\beta\delta\zeta - 3\beta\delta$ μένει $\beta\delta\zeta$.

ΔΕΓΞΙΣ.

ΔΕΙ'ΞΙΣ.

Τὰ Γράμματα δεικνύουσιν ὁποίαν Ποσότητα πρέπει νὰ λάβωμεν, οἱ δὲ Συνεργοὶ σημαίνουσι, ποσάκις νὰ λάβωμεν τὴν Ποσότητα, τὰ δὲ Σύμβολα δηλοῦσι, κατὰ ποῖον τρόπον νὰ τὴν ἐκλάβωμεν. ὅθεν ὅταν μία Ποσότης εἶναι Προσθετέα, ἢ ἀφαιρετέα πλεονάκις, φθάνει νὰ γράψωμεν αὐτὴν ἅπαξ, τιθέντες πρὸ αὐτῆς ἐκεῖνον τὸν Συνεργὸν ὅστις δύναται νὰ ἐκπληρῇ τὸ τοιοῦτον, καθὼς ἀνωτέρω εἰς τὰ κατὰ τὸν α΄. ὑποδείγματα γέγονεν. ἐὰν δὲ ἡ αὐτὴ Ποσότης μερικαῖς φοραῖς εὑρίσκηται Προσθετέα, καὶ ἐξ ἐναντίας μερικαῖς φοραῖς ἀφαιρετέα, μετά τινος ὅμως Διαφορᾶς τῶν Συνεργούντων, τότε ἐκθέτομεν τὴν Διαφορὰν τῆς Προσθετέας, ἢ τῆς ἀφαιρετέας, καθὼς ἀνωτέρω εἰς τὸ β΄. δείκνυται. ἂν τέλος ἡ αὐτὴ Ποσότης εἶναι προσθετέα καὶ ἐν ταυτῷ ἀφαιρετέα, ἄνευ τινος Διαφορᾶς τῶν Συνεργῶν, εἶναι φανερὸν, ὅτι δὲν ἐγκαταλείπεται ποτε, ὡς εἰς τὰ κατὰ τὸν γ΄. Ὑποδείγματα γέγονε. δι' αὐτῆς ἄρα τῆς Ἐργασίας ἀπεκαπεστάθησαν τὰ δοθέντα Μέλη κατὰ τὸν ἁπλούστατον τρόπον.

ΠΡΟ'ΒΛΗΜΑ γ΄.

§. 15. Νὰ προσθέτωμεν Ἀλγεβραϊκὰς Ποσότητας.

ΛΥΣΙΣ ἢ ΠΡΑΚΤΕ'Α.

Πρῶτον τὰ διδόμενα Μέλη πρέπει κατὰ τάξιν νὰ τεθῶσι μετὰ τῶν ἑαυτῶν Συμβόλων, ἔπειτα νὰ πλεσθῇ ἡ πρᾶξις διὰ τῆς Ἐπιτομῆς κατὰ τοὺς ἀνήκοντας Κανόνας τοῦ α. προτεθέντος Προβλήματος.

ΠΑΡΑ'ΔΕΙΓΜΑ α.

Ἔστω εἰς σύναψιν τὸ $\alpha\beta$ καὶ $\gamma\delta$. ὅθεν ποιοῦμεν $\alpha\beta + \gamma\delta$.

ΠΑΡΑ'ΔΕΙΓ. β.

Ἔστωσαν Προσθετέα τὰ 4α καὶ 8α. ὅθεν ποιοῦμεν οὕτως $4\alpha + 8\alpha$, καὶ διὰ τῆς Ἐπιτομῆς 12α. τὸ Κεφάλαιον τῶν 3α καὶ -5α καὶ 2β γίνεται $3\alpha - 5\alpha + 2\beta$. καὶ διὰ τῆς Ἐπιτομῆς $2\beta - 2\alpha$.

ΠΑΡΑ'ΔΕΙΓΜΑ γ.

Ἔστωσαν προσθετέα τὰ $\alpha\beta + \gamma$ καὶ $\beta - \gamma$, ὅθεν ποιοῦμεν $\alpha\beta + \beta + \gamma - \gamma$, καὶ διὰ τῆς Ἐπιτομῆς $\alpha\beta + \beta$.

ΠΑΡΑ'ΔΕΙΓΜΑ δ.

Τὸ Κεφάλ. τῶν $3\beta\gamma - 4\beta\gamma\delta + 6\beta\zeta$, καὶ $6\beta\gamma\delta - 5\beta\gamma + 3\beta\zeta$. γίνεται διὰ τῆς Ἐπιτομῆς $2\beta\gamma\delta - 2\beta\gamma + 9\beta\zeta$.

ΛΕ'Ξ Ι Σ.

Πρόσθεσις (ἥτις κατ' ἄλλους Σύναψις ὀνομάζεται) ἐστὶν ἄθροισις δύο, ἢ πλειόνων Ποσοτήτων εἰς ἓν γενικὸν

Κεφά

Κεφάλαιον, ἀλλὰ μὴν διὰ τούτου τοῦ Κανόνος τὰ δοθέντα Ποσὰ συνήχθησαν εἰς μίαν συμπεπλεγμένην Ποσότητα, ἥτις παρίστησι τὸ γενικὸν Κεφάλαιον, ἔγινεν ἄρα κατὰ τὸ δέον ἡ ἀλγεβραϊκὴ Σύναψις.

ΣΧΟΛΙΟΝ α΄.

§. 16. Ἕκαστος δύναται νὰ καταλάβῃ σαφῶς, ὅτι ἐπὶ τῶν Ὁμοειδῶν Ποσοτήτων πρέπει νὰ ἀθροίζωμεν μόνον τοὺς Συνεργούς· ἐπειδὴ ἂν διορίσωμεν τὴν Σημασίαν τῶν Γραμμάτων. π. χ. ὅτι τὸ α σημαίνει μίαν Γραμμήν, ἢ ἓν Γρόσιον, εἶναι φανερόν, ὅτι 3α καὶ 5α τουτέστι τρία Γρόσ. καὶ πέντε Γρόσ. ἢ τρεῖς Γραμμαὶ καὶ πέντε Γραμμ. ποιοῦσιν 8α, τουτέστι 8 Γρόσ., ἢ 8 Γραμμάς. παραπλησίως δύναται ἕκαστος νὰ ἐννοήσῃ εὐκόλως, καὶ ὅτι τὰ Ἑτεροειδῆ Ποσὰ πρέπει νὰ γράφωμεν καθ' ἓν ξεχωριστά, π. χ. τὸ Κεφάλαιον τῶν 3β καὶ 2γ Ἑτεροειδῶν εἶναι 3β + 2γ. ἐπειδὴ ἂν τὸ β ἐνταῦθα σημαίνῃ ἓν Γρόσιον, καὶ τὸ γ ἕνα ὀβολόν, δὲν δυνάμεθα νὰ ἐκθέσωμεν ἄλλως τὸ ἄθροισμα, εἰμὴ 3 Γρόσ. σὺν 2 ὀβολούς, ἢ 6β καὶ − 4γ εἶναι 6β − 4γ, τουτέστι 6 Γρόσια παρὰ 4 ὀβολούς.

ΣΧΟΛΙΟΝ β΄.

§. 17. Διὰ νὰ ἠμποροῦμεν νὰ κάμνωμεν εὐκολώτερον τὰς Συνάψεις τῶν συναφθησομένων Ποσῶν, ὅταν δοθῶσι πλείονα Μέλη Ὁμοειδῆ, καὶ Ἑτεροειδῆ, πρῶτον τάττομεν τὰ Ὁμοειδῆ κατὰ κάθετον, τὸ ἓν ὑποκάτω τοῦ ἄλλου, καὶ ἔπειτα τῶν μὲν Ὁμοειδῶν καὶ ἅμα Ταυτοσυμβόλων ἀθροίζομεν τοὺς Συνεργοὺς εἰς ἓν γενικώτερον ἄθροισμα κατὰ τὴν κοινὴν Σύναψιν, τῶν δὲ Ὁμοειδῶν καὶ ἐν ταὐτῷ Ἑτεροσυμβόλων ἀφαιροῦμεν τοὺς Συνεργούς, τουτέστι τὸν ἐλάττονα Συνεργὸν ἀπὸ τοῦ μείζονος, τὰ δὲ Ἑτεροειδῆ ἁπλῶς καταγράφομεν, καθὼς εἰς τὸ ἀνωτέρω Σχόλιον εἴρηται. καὶ τότε κατὰ τοῦτον τὸν τρόπον ἀθροίζονται τὰ δοθέντα Ποσὰ εὐκολώτερον καὶ συντομώτερον, ὅσον ἐνδέχεται, ὡς ἐν τοῖς ἑξῆς Ὑποδείγμασι.

ΥΠΟ-

ΥΠΟ'ΔΕΙΓΜΑ α'.

$$
\begin{array}{l}
15\alpha\beta - 6\gamma\delta + 4\zeta\varepsilon \\
\qquad\; - 7\gamma\delta + 3\zeta\varepsilon - \varepsilon\vartheta\vartheta \\
-6\alpha\beta \;\text{———}\; \zeta\varepsilon + 3\varepsilon\vartheta\vartheta \\
\hline
9\alpha\beta - 13\gamma\delta + 6\zeta\varepsilon + 2\varepsilon\vartheta\vartheta
\end{array}
$$

ΥΠΟ'ΔΕΙΓΜΑ β'

$$
\begin{array}{l}
2\chi - 3\alpha + 4\beta - 5\gamma + 6\delta - 7\varepsilon \\
10\chi + 9\alpha - 8\beta - 7\gamma - 6\delta \quad - 5\zeta \\
\hline
12\chi + 6\alpha - 4\beta - 12\gamma - 7\varepsilon - 5\zeta.
\end{array}
$$

ΣΧΟ'ΛΙΟΝ γ'.

§. 18. Εἰς τὰς Ἀλγεβραϊκὰς Ἐργασίας ἀρχόμεθα ἀπὸ τῶν ἀριστερῶν, καὶ προχωροῦμεν πρὸς τὰ Δεξιά, μὲ ὅλον ὅπου ἀκωλύτως δυνάμεθα νὰ ἀρχίσωμεν καὶ ἀπὸ τῶν Δεξιῶν. ἐπειδὴ αἱ διὰ τῶν Γραμμάτων ἐμφαινόμεναι Ποσότητες δὲν ἔχουσι τινὰ δύναμιν ὅπου νὰ κρέμαται ἀπὸ τῆς κατὰ τὸν τόπον θέσεως, καθὼς εἰς τοὺς ἀριθμητικοὺς χαρακτῆρας ἀκολουθεῖ.

ΠΡΟ'ΒΛΗΜΑ γ'.

§. 19. Νὰ ἀφαιρῶμεν Ἀλγέβραϊκὰς Ποσότητας.

ΛΥΣΙΣ ἢ ΠΡΑΚΤΕ'Α.

Μεταβάλλομεν τὸ Σύμβολον τοῦ ἀφαιρετέου Ποσοῦ εἰς τὸ ἐναντίον, δηλαδὴ ἐὰν μὲν τὸ ἀφαιρεθησόμενον Ποσὸν

τυγχατυγχάνῃ Καταφατικὸν, ἔχον πρὸ ἑαυτοῦ κείμενον ἢ ὑπεννοούμενον τὸ Σύμβολον +, μεταβάλλομεν αὐτὸ εἰς ἀποφατικὸν διὰ τοῦ ἐναντίου Συμβόλου, τουτέστι διὰ τοῦ −· ἐὰν δὲ ὑπάρχῃ ἀποφατικὸν, τότε κάμνομεν αὐτὸ νὰ λάβῃ Σημασίαν θετικὴν διὰ τοῦ Συμβόλου +, καὶ μετὰ τοῦτο γίνεται Πρόσθεσις καὶ Ἐπιτομὴ, ὡς

ΠΑΡΑΔΕΙΓΜΑ α'.

Ἐὰν εἶναι τὸ + α ἀπὸ τοῦ + α ἀφαιρετέον, γράφομεν οὕτως α − α, τουτέστι 0.

ΠΑΡΑΔΕΙΓΜΑ β'.

Ἐὰν ἡ γδ ἀφαιρετέον ἀπὸ τοῦ αβ, γράφομεν αβ − γδ.

ΠΑΡΑΔΕΙΓΜΑ γ'.

Ἐὰν ἡ 3γδε ἀφαιρετέον ἀπὸ τοῦ 4γδε, γράφομεν οὕτως 4γδε − 3γδε, τουτέστι γδε.

ΠΑΡΑΔΕΙΓΜΑ δ'.

Ἐὰν ἀπὸ τοῦ αβγ εἶναι ἀφαιρετέον τὸ − αβγ, γράφομεν ἄρα αβγ + αβγ, τουτέστι 2αβγ.

ΠΑΡΑΔΕΙΓΜΑ ε'.

Ἐὰν ἀπὸ τῶν αα + 2βγ + ββδ ὦσιν ἀφαιρετέα τὰ αα + 4βγ − ββδ, μεταβάλλομεν πρῶτον τὰ Σύμβολα τῶν ἀφαιρετέων· οἷον − αα − 4βγ + ββδ, ἔπειτα προστιθέντες ἀλλήλοις τὰ Ποσὰ, ἔχομεν αα − αα + 2βγ − 4βγ + ββδ + ββδ, τουτέστι 2ββδ − 2βγ.

ΔΕΙΞΙΣ.

ΔΕΙ͂ΞΙΣ.

Ἡ ἀφαίρεσις ἑνὸς Ποσοῦ ἐκδηλοῦται διὰ τοῦ Συμβόλου — (§. 6.)· λοιπὸν ὅταν πρόκειται νὰ ἀφαιρεθῇ τὸ Ποσὸν β ἀπὸ τοῦ Ποσοῦ α, πρέπει νὰ γράφωμεν πρὸ τοῦ β τὸ Σύμβολον —, τουτέστι νὰ μεταβάλλωμεν τὸ + εἰς τὸ —. ὅταν δὲ τὸ ἀφαιρετέον Ποσὸν ἔχῃ Σύμβολον τὸ —, ὑπάρχει ἄρα τι ἀφαιρετέον, καὶ ὡς τοιοῦτον πρέπει νὰ ἀφαιρεθῇ· ὅθεν πρέπει νὰ μεταβάλωμεν τότε τὸ ἀποφατικὸν Σημεῖον — εἰς Καταφατικὸν + κατὰ τὸν γενικὸν ἐκεῖνον Κανόνα „· ὅτι δύο ἀποφάσεις ἀποτελοῦσι μίαν Κατάφασιν.

ΣΧΟ΄ΛΙΟΝ α΄.

§. 10. Τοῦτο ἀποδεικνύεται καὶ διὰ τῆς Ἰδέας τοῦ ἀποφατικοῦ Ποσοῦ (§. 9). διότι, ἐπειδὴ τοῦτο εἶναι μία Ἔλλειψις, ἢ δύναται νὰ θεωρηθῇ ὡς ἓν χρέος, τὸ ὁποῖον πρέπει νὰ ἀφαιρεθῇ ἀπ' ἄλλης ὁποιασδήποτε Ποσότητος, διὰ τοῦτο τὸ νὰ ἀφαιρῆται μία Ἔλλειψις, ἢ ἓν χρέος, δὲν σημαίνει ἄλλο, παρὰ νὰ κάμωμεν, ὥστε νὰ μὴν ἔχῃ ὁ ἄλλος αὐτὴν τὴν Ἔλλειψιν, αὐτὸ τὸ χρέος· τοῦτο ὅμως κατ' ἄλλον τρόπον δὲν δυνάμεθα νὰ ἀποτελέσωμεν, εἰ μὴ μεταποιοῦντες διὰ τῶν Συμβόλων τὴν ἀποφατικὴν Ποσότητα εἰς Καταφατικήν. καθὼς ἐξ ἐναντίας τὸ νὰ προστίθηται μία Ἔλλειψις σημαίνει τὸ νὰ κάμωμεν νὰ ἔχῃ ὁ ἄλλος αὐτὴν τὴν Ἔλλειψιν. ὅταν λοιπὸν ἔχωμεν νὰ προσθέσωμεν εἰς τὸ α τὸ ἧττον β, γράφομεν α — β. ὅταν δὲ ἔχωμεν νὰ ἀφέλωμεν τὸ ἧττον β ἀπὸ τοῦ α, γράφομεν α + β. καὶ πάλιν ἂν προσθέσωμεν εἰς τὰ 12 τὴν Ἔλλειψιν, ἢ τὸ χρέος 4, ἔχομεν 12 — 4, τουτέστι 8. ἐὰν δὲ ἀφέλωμεν ἀπὸ τῶν 8 τὴν Ἔλλειψιν 4, τότε ἔχομεν 8 + 4 τουτέστι 12.

ΣΧΟ΄ΛΙΟΝ γ΄.

§. 11. Ἐπειδὴ εἶναι ἀντίφασις τὸ νὰ ὑπάρχῃ τῷ ὄντι μία ἀποφατικὴ Ποσότης ὡς τοιαύτη, διὰ τοῦτο πρέπει νὰ τὴν θεωρῶμεν π ἀν-

ποτ

§. 67. Ὅταν εἰς τὴν δευτέραν Κλάσιν ἀκολουθῇ καὶ Τρίτη, καὶ ἑπομένως συνίσταται ἡ ῥίζα ἐκ τριῶν χαρακτήρων, ἐξακολουθεῖται πάλιν ἡ ῥηθεῖσα Μέθοδος, ἀρχομένη ἀπὸ τοῦ Τετάρτου Κανόνος. ὅθεν εἰς τὸ δεύτερον καταλειπόμενον τῆς προτέρας ἀφαιρέσεως γράφομεν τὴν τρίτην Κλάσιν, ἥτις μετὰ τούτου τοῦ καταλειπομένου εἶναι τὸ τρίτον διαλυθησόμενον Ποσόν, καὶ διπλασιάσαντες τοὺς δύω προτέρους χαρακτῆρας τῆς ῥίζης, γράφομεν ὑποκάτω τοῦ διαλυθησομένου ἀριθμοῦ οὕτως, ὥστε ὁ τόπος ὁ ὑποκάτω τοῦ τελευταίου χαρακτῆρος τοῦ διαλυθησομένου Ποσοῦ νὰ μείνῃ κενός, τὸ δὲ ἐκ τῆς Νέας Διαιρέσεως Πηλίκον, τὸ ὁποῖον εἶναι καὶ τρίτον Μέλος τῆς ῥίζης, γράφομεν ὡσαύτως καὶ εἰς τὸν τόπον τῶν Πηλίκων καὶ εἰς τὸ κενὸν Διάστημα. ἔπειτα πολλαπλασιάζομεν τὸν Διαιρέτην καὶ τὴν ῥίζαν μετὰ τοῦ νέου Πηλίκου, καὶ οὕτως ἀποκτῶμεν τὸ ἀφαιρετέον Γενόμενον. εἰ δ' ἔτι καὶ ἑτέρα Κλάσις ἐστί, καταβιβάζομεν αὐτὴν πάλιν πλησίον εἰς τὸ καταλειφθέν, καὶ λαμβάνομεν τὸ διπλάσιον ὅλων τῶν Μελῶν τῆς ῥίζης ὡς Διαιρέτην, καὶ οὕτως ἐξακολουθοῦμεν τοὺς αὐτοὺς Κανόνας, ἕως

οὗ λοιὃ λάβωσι τέλος ὅλαι αἱ Κλάσεις. ὅταν δὲ τύχῃ νὰ εἶναι τὸ ἀφαι-ρετέον Γινόμενον μεῖζον ἢ ὅσε νὰ δύναται νὰ γένῃ ἡ ἀφαίρεσις, τότε λαμβάνομεν μικρότερον Πηλίκον, καθὼς καὶ ἐπὶ τῆς Διαιρέσεως θέλομεν τύχῃ αὐτὴν τὴν περίστασιν δὶς ἐν τῷ ἑξῆς Παραδείγματι.

ΠΑΡΑ΄ΔΕΙΓΜΑ.

6,15,04	| 248 ἡ ῥίζα
4	τὸ ὡς ἔγγιστα ἔλαττον Τετράγωνον, τοῦ ὁποίου ἡ ῥίζα ὑπάρχει ὁ 2.
215	τὸ καταλειπόμενον μετὰ τῆς ἀκολούθου Κλάσεως.
44	ἡ διπλασία ῥίζα μετὰ τοῦ νέου Πηλίκου.
176	τὸ ἀφαιρετέον Γινόμενον ἐκ τοῦ 44 καὶ 4,
3904	τὸ καταλειπόμενον μετὰ τῆς ἑπομένης Κλάσεως.
488	τὸ διπλ. τῆς ῥίζης 24×2=48 μετὰ τοῦ νέου Πηλίκου.
3904	τὸ ἀφαιρετέον Γινόμενον.
0	

ΣΧΟ΄ΛΙΟΝ β΄.

§. 68. Ὁμοίως τὸ Μηδενικὸν 0 δύναται εἰς τὴν τάξιν τῆς ῥίζης, καθὼς εἰς τὴν κοινὴν διαίρεσιν, ἐὰν δηλονότι τὸ διπλάσιον Γινόμενον τῆς προτέρας ῥίζης δὲν περιέχηται μήτε ἅπαξ εἰς τὸν διαλυθησόμενον ἀριθμὸν, καὶ τότε ἀντὶ παντὸς ἄλλου Πολλαπλασιασμοῦ, ἢ ἀφαιρέσεως κ. τ. γράφομεν εἰς τὴν προτέραν Κλάσιν τὴν ἑπομένην, καὶ ἐξακολουθοῦμεν τὴν ἐργασίαν, διπλασιάζοντες τὴν νέαν ῥίζαν ὡς ἐν τῷ ἑξῆς Παραδείγματι.

ΠΑΡΑΔΕΙΓΜΑ.

16,45,92,49	4057
16	τὸ ἀφαιρετέον Τετράγ. τοῦ ὁποίου ἡ ῥίζα εἶναι ὁ 4.
45	ἡ ἑπομένη Κλάσις.
8	τὸ διπλάσιον τῆς ῥίζης, τὸ Πηλίκον ἐστὶν 0.
4592	ἡ ἑπομένη Κλάσις πρὸς τῇ ἀνωτέρῳ τεθειμένῃ.
805	τὸ διπλ. τῆς ῥίζης 40×2 μετὰ τῆς νέας ῥίζης 5.
4025	τὸ ἐκ τοῦ Διαιρέτου καὶ τοῦ νέου Πηλίκου Γινόμενον, τὸ ὁποῖον πρέπει νὰ ἀφαιρεθῇ.
56749	τὸ καταλειφθὲν μετὰ τῆς ἑξῆς Κλάσεως.
8107	τὸ διπλ. τῆς ῥίζης 0×2 μετὰ τῆς νέας ῥίζης.
56749	τὸ ἀφαιρετέον Γινόμενον.
0.	

ΣΧΟΛΙΟΝ γʹ.

§. 69. Ἡ Βάσανος (Δοκιμὴ) τῆς Ὀρθῶς ἐξαχθείσης ῥίζης γίνεται, ἐὰν πολλαπλασιάσωμεν τὴν εὑρεθεῖσαν ῥίζαν ἐφ' ἑαυτὴν, ἢ ὑψώσωμεν αὐτὴν εἰς τὴν δευτέραν δύναμιν, κατ' αὐτὸν τὸν τρόπον θέλομεν ἰδῇ, ἂν εἶναι τὸ Τετράγωνον τῆς ῥίζης ἴσον τῷ δοθέντι ἀριθμῷ ὡς ἐν τῷ ἑξῆς Παραδείγματι.

ΠΑΡΑ'ΔΕΙΓΜΑ α'.

9,57,90,25 | 3095

9

57
6

5790
609
5481

30925
6185
30925

0

βάσανος

3095
3095

15475
27855
92850

9579025

ΠΑΡΑΔ. β'.

34,69,21 | 589

25

969
108
864

10521
1169
10521

0

ΠΑΡΑΔ. γ'.

16,00,00 | 400

16

000
00

0000
000

0

ΠΑΡΑ'ΔΕΙΓΜΑ δ'.

```
36,09,60,64  | 6008
36
-----
 009
 12
-----
  0960
  120
-----
   96064
   12008
   96064
-----
     0
```

ΣΧΟ'ΛΙΟΝ γ'.

§. 70. Ὅταν εἰς τὸ τέλος ἐγκαταλείπηταί τι λείψανον, τοῦτο εἶναι Σημεῖον, ὅτι ὁ δοθεὶς ἀριθμὸς δὲν ἦτον Ἐντελὴς Τετράγωνον. ὅθεν δὲν δυνάμεθα νὰ ἀποκτήσωμεν ρίζαν ἀληθῆ (§. 59). τὸ τοιοῦτον ἐκφράζομεν διὰ τοῦ Σημείου $\sqrt{\ }$, οἷον $\sqrt{5}$, $\sqrt[3]{10}$, $\sqrt{118}$ κ. τ. ὡστόσον δυνάμεθα διὰ τῆς Ἐξαγωγῆς νὰ εὕρωμεν τὴν ἀληθῆ ρίζαν, ἐξακολουθοῦντες περαιτέρω διὰ τῶν Δεκαδικῶν. καὶ τοῦτο γίνεται ἐὰν προσθέσωμεν τῷ λειψάνῳ μίαν Κλάσιν ἐκ δύω Μηδενικῶν 00, καὶ οὕτω θεωρεῖται αὕτη ἡ Κλάσις ὅλη ὡς Δεκαδικὰ Κλάσματα, καὶ ἡ ἐκ ταύτης ρίζα ὡς Δεκατημόρια. ἂν δὲ καὶ ἀπὸ αὐτῆς μένῃ κἀνένα λείψανον, προσθέτομεν ἄλλα δύω μηδενικὰ, καὶ τὸ ἐκ τούτων Πηλίκον εἶναι Ἑκατοστημόρια, οὕτω δυνάμεθα νὰ ἐξακολουθήσωμεν ἐπὶ πλέον, προστιθέντες ἐπὶ τῆς Διαιρέσεως πάντοτε ἀντὶ ἓν 0 εἰς τὸν Διαιρετέον, κατ' αὐτὴν τὴν Μέθοδον ἐξάγομεν τὴν ρίζαν ἀπὸ 1129 καὶ 5240. ὡς θέλομεν ἰδῇ ἐν τοῖς ἑξῆς Παραδείγμασι.

ΠΑΡΑ-

ΠΑΡΑΔΕΙΓΜΑΤΑ α΄, καὶ β΄.

1,29 | 11,35 κ. τ.	5,40 | 22,23 κ. τ.
1	4
——	——
29	140
21	43
21	129
———	———
8,00	11,00
223	462
669	924
———	———
13100	17600
2265	4543
11325	13929
———	———
1775	3671

ΣΧΟ΄ΛΙΟΝ ι.

§. 71. Εἰς Τετραγωνικὰ Κλάσματα πρέπει καὶ ἐκ τοῦ ἀριθμητοῦ καὶ ἐκ τοῦ Παρονομαστοῦ νὰ ἐξάγωμεν τὴν ῥίζαν π. χ. $\frac{4}{25}$ δίδωσι ῥίζαν $\frac{2}{5}$. καὶ $\frac{36}{81}$ τὴν $\frac{6}{9}$. εἰς δὲ τὰ Δεκαδικὰ Κλάσματα γίνεται ἡ Πρᾶξις καθὼς εἰς τὰ Ὁλοσχερῆ. πρέπει ὅμως εἰς τὰ Δεκαδικὰ νὰ προσέχωμεν νὰ εἶναι ὁ ἀριθμὸς τῶν χαρακτήρων πάντοτε ἄρτιος, εἰ δὲ καὶ εἶναι Περιττὸς, προστίθεμεν ἓν Μηδενικὸν 0. εἰς τὸ τέλος, καὶ οὕτω γίνεται ἄρτιος, χωρὶς νὰ μεταβληθῇ ἡ Δύναμις τοῦ Κλάσματος (§. 90. ἐν ἀριθμητικῇ). ἡ δὲ αἰτία τούτου εἶναι, ὅτι τὸ Δεκαδικὸν Κλάσμα προϋποτίθεται πάντοτε νὰ ἔχῃ Παρονομαστὴν συνιστάμενον ἐκ τῆς Μονάδος ϗ τῶν Μηδενικῶν, ϗ εἰς αὐτὴν τὴν αὔξησιν Τετράγωνον Παρονομαστὴν, ὅπου εἶναι πάντοτε ὁ ἀριθμὸς τῶν Μηδενικῶν Σημείων ἄρτιος. καθὼς ἐκ τῶν Τετραγώνων τῶν ἑξῆς ἀριθμῶν γίνεται δῆλον, π. χ. τῶν 10, 100, 1000, 10000 κ. τ. Τετράγωνα εἶσι 100, 10000, 1000000, 100000000 κ. τ. ἀλλὰ μὴν ἐν τῷ ἀριθμητῇ ὑπάρχουσι τόσοι χαρακτῆρες, ὅσα Μηδενικὰ Σημεῖα ἐν τῷ Παρονομαστῇ, πρέπει ἄρα ϗ ὁ ἀριθμὸς τῶν χαρακτήρων τοῦ ἀριθμητοῦ νὰ εἶναι ἄρτιος. ἐὰν δὲ ὁ δοθεὶς ἀριθμὸς εἶναι Μικτὸς, τουτέστιν ἐὰν συνίσταται ἐξ ἀκεραίων ϗ Δεκαδικῶν, τότε διαιροῦμεν αὐτὸν εἰς Κλάσεις ξεχωριστὰ τόσον τὸν ἀκέραιον, ὅσον ϗ τὸν Δεκαδικὸν, ϗ ὕστερον γίνεται ἡ Ἐξαγωγὴ τῆς ῥίζης κατὰ τοὺς Κανόνας τοὺς προτεθέντας ἐν τοῖς ἀνωτέρω Παραγράφοις· πρὸς ἐξήγησιν τῶν εἰρημένων, κείσθωσαν τὰ ἑξῆς Παραδείγματα διὰ νὰ ἐξαγάγωμεν ἀπὸ τῶν 7.24576, ϗ 0.56644, ϗ 7487.441 τὴν τετραγωνικὴν ῥίζαν.

ΠΑΡΑΔ. α΄.

```
7.,24,57,60   | 2.691
4
——
324
 46
276
————
 4857
  529
 4761
—————
  9660
  5381
  5381
  ————
  4279  κ. τ.
```

ΠΑΡΑΔ. β΄.

```
56,64,40   | 0.752
49
——
 764
 145
 725
————
 3940
 1502
 3004
 ————
  936  κ. τ.
```

ΠΑΡΑ'ΔΕΙΓΜΑ γ΄.

```
74,87,44,10  | 86.53
64
——
1087
 166
 996
——
 9144
 1725
 8625
 ——
  51910
  17303
  51909
 ————
   01
```

ΠΡΟ'ΒΛΗΜΑ ί.

§. 72. Ἐκ τοῦ δοθέντος Κύβου νὰ ἐξάγωμεν τὴν Διμερῆ ῥίζαν.

ΠΡΑΚΤΕ'Α, ἢ ΛΥΣΙΣ.

Ἐπειδὴ κάθε Κύβος ἑνὸς Διμελοῦς Ποσοῦ συνίσταται ἐκ τοῦ Κύβου τοῦ πρώτου Μέλους, ϗ ἐκ τοῦ Τριπλοῦ Τετραγώνου ἑκάστου Μέλους πολλαπλασιασθέντος μετὰ τοῦ ἑτέρου, ϗ ἐκ τοῦ Κύβου τοῦ δευτέρου Μέλους, καθὼς φαίνεται ἐκ τοῦ Σχήματος $\alpha^3+3\alpha^2\beta+3\alpha\beta^2+\beta^3$, ἀποκτῶμεν τὴν ῥίζαν, ἐὰν ἐξαγάγωμεν ἐκ τοῦ δοθέντος τὸ α ϗ β, ὕστερον σχηματίζομεν ἐκ τῆς ῥίζης α ϗ β τὰ τέσσαρα τοῦ

Κύβου

Κύβȣ γνωςὰ Ποσὰ, ϗ τὰ ἀφαιρȣ̃μεν ἀπὸ τȣ̃ δεδομένȣ Κύβȣ. ἐπειδὴ εἰς τοιαῦτα ἀναλύονται, ἐξ ὧν ϗ συνετέθησαν.

Ἐὰν λοιπὸν λάβωμεν ἀπὸ τȣ̃ $α^3$ τὴν Κυβικὴν, ῥίζαν α, δυνάμεθα νὰ εὕρωμεν τὸ β, ἀφ᾽ ȣ̃ διέλωμεν τὸ $3α^2β$ μὲ $3α^2$ τȣτέςι μὲ τὸ Τριπλάσιον Τετράγωνον τȣ̃ πρώτȣ Μέλȣς. ἀφ᾽ ȣ̃ εὕρωμεν τὸ β, συντίθεμεν ἔπειτα τὰ τρία ἑξῆς Ποσὰ $3α^2β$, $3αβ^2$, $β^3$ ϗ τὰ ἀφαιρȣ̃μεν ἀπὸ τȣ̃ δεδομένȣ Ποσȣ̃, ϗ ȣ̃τω δὲν ἐγκαταλείπεται μηδέν.

$α^3+3α^2β+3αβ^2+β^3$	$\underline{1\ α+β}$
$-α^3$	ὁ ἀφαιρετέος Κύβος τȣ̃ πρώτȣ Μέλȣς α, τὸ ὁποῖον θέτομεν εἰς τὸν τόπον τȣ̃ Πηλίκȣ.
$3α^2β$	τὸ δεύτερον Ποσόν.
$3α^2$	τὸ Τριπλȣ̃ν Τετράγωνον τȣ̃ πρώτȣ Μέλȣς ὡς Διαιρ.
$-3α^2β$	Πολλαπλασιασθὲν μετὰ τῆς νέας ῥίζης, ϗ ἀφαιρεθὲν ἀπὸ τȣ̃ δευτέρȣ Ποσȣ̃.
$0\quad 3αβ^2$	τὸ τρίτον Ποσόν.
$-3αβ^2$	τὸ τριπλάσιον Τετράγ. τȣ̃ δευτέρȣ Μέλȣς τῆς ῥίζης πολλαπλασιασθὲν μετὰ τȣ̃ πρώτȣ Μέλȣς ϗ ἀφαιρεθὲν ἀπὸ τȣ̃ τρίτȣ Ποσȣ̃.
$0\quad β^3$	τὸ Τέταρτον Ποσὸν
$-β^3$	ὁ ἀφαιρετέος Κύβος τȣ̃ δευτέρȣ Μέλȣς τῆς ῥίζης.
0	

ΠΡΟ-

ΠΡΟΒΛΗΜΑ ϛ΄.

§. 73. Νὰ ἐξάγωμεν τὴν Κυβικὴν ῥίζαν.

ΠΡΑΚΤΕΑ, ἢ ΛΥΣΙΣ.

α.) Μερίζομεν τὸν δοθέντα ἀριθμὸν εἰς Κλάσεις οὕτως, ὥστε ἑκάστη Κλάσις νὰ περιέχῃ τρεῖς χαρακτῆρας ἐκτὸς τῆς πλευταίας πρὸς τὰ ἀριστερὰ Κλάσεως, ἥτις δύναται κατὰ περίστασιν νὰ περιέχῃ καὶ δύω, ἢ καὶ ἕνα μόνον χαρακτῆρα. ἐντεῦθεν δηλοῦται, ἐκ πόσων χαρακτήρων συνίσαται ἡ ῥίζα, ἐκ τοσούτων δηλονότι, εἰς ὅσας Κλάσεις ἐμερίσθη ὁ δοθεὶς Κύβος (§. 58).

β.) Ἔπειτα ζητοῦμεν εἰς τὸν Πίνακα (§. 58), ἂν ἡ πρώτη Κλάσις ὑπάρχῃ Κύβος, ἢ οὔ. καὶ εἰ μὲν ὑπάρχει Κύβος, γράφομεν αὐτὸν ὑποκάτω τῆς πρώτης Κλάσεως, ἐὰν δὲ δὲν εἶναι Κύβος. λαμβάνομεν τὸν ὡς ἔγγιστα ἐλάττονα Κύβον, καὶ γράφομεν αὐτὸν ὑπὸ τὴν πρώτην Κλάσιν, τὴν δὲ ῥίζαν αὐτοῦ εἰς τὸν τόπον τῶν Πηλίκων.

γ.) Ἀφαιροῦμεν τοῦτον τὸν Κύβον ἀπὸ τῆς πρώτης Κλάσεως, καὶ τίθεμεν πλησίον τοῦ καταλειπομένου τὴν ἑπομένην Κλάσιν.

δ.) Ἐκ τοῦ εὑρεθέντος Πηλίκου (α) ποιοῦμεν Τετράγωνον, ὅπερ πολλαπλασιασθὲν μετὰ τοῦ 3 ($= 3a^2$) γράφομεν ὑπὸ τὴν δευτέραν Κλάσιν ὡς Διαιρέτην οὕτως, ὥστε οἱ ὑπὸ τοὺς δύω ἐσχάτους χαρακτῆρας πρὸς τὰ δεξιὰ τόποι νὰ μένωσι κενοί.

ε.) Ζητοῦμεν ὕστερον, ποσάκις ὁ Διαιρέτης περιέχεται ἐν τῷ ἐπ' αὐτὸν Διαιρετέῳ, τὸ δὲ Πηλίκον εἶναι τὸ δεύτερον Μέλος τῆς ῥίζης, ὅπερ θέτομεν εἰς τὸν τόπον τῶν Πηλίκων·

ϛ'.) Πολλαπλασιάζομεν μετὰ τούτου τοῦ νεωστὶ εὑρεθέντος Μέλους τῆς ῥίζης (β) τὸν Διαιρέτην, τὸ δὲ Γινόμενον ($3a^2\beta$) ἀφαιροῦμεν ἀπὸ τοῦ Διαιρετέου ἀριθμοῦ, καὶ εἰς τὸ καταλειφθὲν γράφομεν τὸν προτελευταῖον χαρακτῆρα.

ζ'.) Ἐκ τῆς δευτέρας ταύτης ῥίζης (β) ἀποτελοῦμεν Τετράγωνον (β^2), καὶ πολλαπλασιάζομεν αὐτὸ μετὰ τοῦ πρώτου Μέλους τῆς ῥίζης καὶ μετὰ τοῦ 3, καὶ οὕτω γεννᾶται τὸ Γενόμενον ($3a\beta^2$), τὸ ὁποῖον ἀφαιροῦμεν πάλιν ἀπὸ τοῦ ἀνωτέρω ἀριθμοῦ, καὶ πλησίον τοῦ ἐγκαταλειπομένου προσγράφομεν τὸν τελευταῖον χαρακτῆρα τῆς Κλάσεως.

η'.) Ἐκ τῆς αὐτῆς ῥίζης (β) ἀποτελοῦμεν Κύβον, καὶ ἀφαιροῦμεν αὐτὸν ἀπὸ τοῦ ἀνωτέρω ἀριθμοῦ, καὶ ἂν δὲν μείνῃ τι ἐγκαταλειπόμενον, τότε ὁ δοθεὶς ἀριθμὸς ὑπάρχει ἀληθὴς Κύβος, καὶ ἡ ῥίζα τούτου ἐξήχθη. π. χ. νὰ ἐξαγάγωμεν ἀπὸ τοῦ 13824 τὴν Κυβικὴν ῥίζαν.

α'.)		13,824	24 ἡ ῥίζα
β'.)	a^3	8	ὁ ὡς ἔγγιστα ἀφαιρετέος Κύβος.
γ'.		5824	τὸ καταλειφθὲν μετὰ τῆς ἑπομένης Κλάσεως.
δ'.)	$3a^2$	12	τὸ τριπλοῦν Τετραγ. τοῦ πρώτου Μέλους $2\times2\times3 = 12$.
ε'.)	$3a^2\beta$.	48	$\times$ μετὰ τοῦ ἄλλου Μέλους $\beta = 12\times3 = 48$, καὶ ἀφαιρεθὲν ἀπὸ τῶν 58.

	102	τὸ καταλειφθὲν μετὰ τοῦ προπλάταίου χαρακτῆρος 2.
ζ'.) $3\alpha\beta^2$	96	τὸ δεύτερον Μέλος τῆς ῥίζης $4\times4=16\times3=48\times2$ (τὸ πρῶτον Μέλος τῆς ῥίζης) $=96$,
	64	τὸ καταλειφθὲν μετὰ τοῦ ἐσχάτου χαρακτῆρος.
η'.) β^3	64	ὁ Κύβος τοῦ δευτέρου Μέλους τῆς ῥίζης $4=64$,
	0	

ΔΕΙΞΙΣ.

Ἡ ἀλήθεια αὐτῆς τῆς Μεθόδου τοῦ τὰς Κυβικὰς ἐξαγάγειν ῥίζας δηλοῦται ἐκ τοῦ Ἀλγεβραϊκοῦ Σχήματος (§. 72.), ἀφ' οὗ εὕρωμεν μίαν φορὰν τὸ β, τότε συνθέτομεν τὰ Μέρη, ἐξ ὧν συνίσταται ὁ Κύβος, καὶ ἀφαιροῦμεν αὐτὰ καθὲν ἀπὸ τοῦ δοθέντος ἀριθμοῦ.

ΣΧΟΛΙΟΝ α.

§. 74. Ἂν ὁ δοθεὶς ἀριθμὸς ἔχῃ πλέον, ἢ δύω Κλάσεις, καὶ ἑπομένως συνίσταται ἡ ῥίζα ἐκ πλειόνων χαρακτήρων, ἐξακολουθοῦμεν τὴν Μέθοδον ταύτην, ἀρχόμενοι ἀπὸ τοῦ Τετάρτου Κανόνος, καὶ θεωροῦμεν τοὺς δύω εὑρεθέντας χαρακτῆρας τῆς ῥίζης ὡς πρῶτον Μέλος, ἐξ ὧν γίνεται διὰ τὴν Διαίρεσιν τὸ Τριπλοῦν Τετράγωνον αὐτῶν, διὰ νὰ εὑρεθῇ τὸ β, ἔπειτα πολλαπλασιάζομεν τοῦτο τὸ Τριπλοῦν Τετράγωνον μεθ' ὅλου τοῦ α, τουτέστι μετὰ πάντων τῶν προτέρων ῥιζῶν, καὶ τὸ ἀφαιροῦμεν, καὶ κατ' αὐτὸν τὸν τρόπον εὑρίσκονται ὅλαι αἱ ῥίζαι ὁποιουδηποτοῦν ἀριθμοῦ.

ΠΑΡΑ'-

	823744	τὸ καταλειφθὲν μετὰ τῆς ἑπομένης Κλάσεως.
$3\alpha^2$	2028	$26 \times 26 = 676 \times 3 = 2028$ ὁ Διαιρέτης. τὸ Πηλίκον $4 = \beta$.
$3\alpha^2\beta$	8112	$2028 \times 4 = 3\alpha^2 \times \beta$.
	1254	τὸ καταλειφθὲν μετὰ τοῦ προπλατείου χαρακτ.
$3\alpha\beta^2$	1248	$4 \times 4 = 16 \times 3 = 48 \times 26 = 1248 = \beta^2 \times 3 \times \alpha$.
	64	τὸ καταλειφθὲν μετὰ τοῦ πλατείου χαρακτῆρος.
β^3	64	ὁ Κύβος τοῦ 4.
	0	

Ἐὰν

ΠΑΡΆΔΕΙΓΜΑ.

$18,399,744 \,\Big|\, \begin{array}{l} \alpha\beta \\ 264 \end{array}$ ἡ ῥίζα

α^3	8	ὁ ὡς ἔγγιστα ἐλάσσων Κύβος.
	10399	τὸ καταλειφθὲν μετὰ τῆς ἐπομένης Κλάσ,
$3\alpha^2$	12	$2\times2=4\times3=12$ ὁ Διαιρέτης. τὸ Πηλίκ. $6=\beta$.
$3\alpha^2\beta$	72	12×6, ἢ $3\alpha^2\times\beta=72$.
	319	τὸ καταλειφθὲν μετὰ τοῦ ἐπομένου χαρακτῆρος.
$3\alpha\beta^2$	216	$6\times6=36\times3=108\times2=216$ $=\beta^2\times3\times\alpha$.
	1039	τὸ καταλειφθὲν μετὰ τοῦ ἀκολούθου χαρακτῆρος.
β^3	216	ὁ Κύβος τῆς ῥίζης 6.

Ἐὰν μεταξὺ τῆς ἐργασίας δὲν δύνηται νὰ ἀφαιρεθῇ κανένας ἀριθμὸς, τοῦτο εἶναι Σημεῖον, ὅτι ἐλήφθη ῥίζα μείζων τοῦ δέοντος, καὶ διὰ τοῦτο ἀνάγκη νὰ τεθῇ μικροτέρα εἰς τὸν τόπον τῶν Πηλίκων· ἀφ' οὗ δὲ τελειώσωμεν τὴν ἐργασίαν, ποιοῦμεν τὴν Βάσανον, πολλαπλασιάζοντες πρῶτον τὴν ῥίζαν μεθ' ἑαυτῆς, ἔπειτα πολλαπλασιάζομεν τὸ Γινόμενον, (τὸ Τετράγωνον δηλονότι τῆς ῥίζης ταύτης) αὖθις ἐπὶ τὴν ῥίζαν. καὶ ἂν τὸ δεύτερον Γινόμενον ὑπάρχῃ ἴσον μὲ τὸν δοθέντα ἀριθμὸν, εἶναι δῆλον, ὅτι ἐξήχθη· ἐντελῶς ἡ Κυβικὴ ῥίζα τοῦ δεδομένου ἀριθμοῦ.

ΠΑΡΑΔΕΙΓΜΑΤΑ.

```
28,934,443 | 1307
27
1934
27
1934443
2700
18900
4444
4410
343
343
0
```

```
438,976 | 176
343
95976
147
882
777
756
216
216
0
```

Βάσανος.

```
76
76
456
532
5776
76
34656
40432
438976
```

ΣΧΟΛΙΟΝ β'.

§. 75. Ἐὰν μετὰ τὴν Ἐργασίαν μείνῃ κανένα λείψανον, εἶναι Σημεῖον, ὅτι ὁ δοθεὶς ἀριθμὸς δὲν εἶναι ἀληθὴς Κύβος, καὶ τὴν ἀληθῆ ῥίζαν δὲν δυνάμεθα ἀκριβῶς νὰ εὕρωμεν, ὅθεν δυνάμεθα

διὰ

ιὰ τῶν Δεκαδικῶν Κλασμάτων νὰ ἐξαγάγωμεν τὴν ὡς ἔγγιστα ἀληθῆ ῥίζαν τούτου, προστιθέντες εἰς τὸ λεῖψανον τρία Μηδενικὰ αθὼς εἴπομεν ἀνωτέρω, (§. 70). οὕτως ἐξάγεται ἐκ τοῦ 54 ἡ ὡς γγιστα Κυβικὴ ῥίζα.

ΠΑΡΑ'ΔΕΙΓ.		Βάσανος.	
54	3.77	377	
27		377	
27000		2639	
27		2639	
189		1131	
810		142129	Τετράγωνον
441		377	
3690		994903	
343		994903	
3347000		426387	
4107		53582633	Κύβος
28749		417367	τὸ καταλειφθέν.
47210		54,000000	
5439			
417710			
343			
417367 Καταλειφθέν.			

ΣΧΟ-

ΣΧΟΛΙΟΝ γ'.

§. 76. Ἐπὶ τῶν Δεκαδικῶν Κλασμάτων γίνεται ἡ Ἐργασία τῆς Ἐξαγωγῆς, καθὼς ϗ ἐπὶ τῶν ἀκεραίων ἀριθμῶν, πρέπει δὲ νὰ σημειώσωμεν ϗ ἐνταῦθα, ὅτι τὰ Μηδενικὰ πρέπει νὰ εἶναι κατὰ τὸν ἀριθμὸν ἢ τρία, ἢ ἕξ, ἢ ἐννέα, κ. τ. καθὼς αὖθις γίνεται τοῦτο δῆλον διὰ τοῦ Πολλαπλασιασμοῦ τῶν Δεκαδικῶν ῥιζῶν ἐφ' ἑαυτάς. π. χ. τὸ Τετράγωνον 100 μετὰ τῆς ῥίζης 10 πολλαπλασιασθὲν, παρέχει τὸν Κύβον 1000, τρία Μηδενικά. τὸ δὲ Τετράγωνον 10000 X μετὰ τῆς ῥίζης 100, παρέχει τὸν Κύβον 1000000, ἕξ Μηδενικά. τὸ δὲ Τετράγ. 1000000 X μετὰ τῆς ῥίζης 1000, παρέχει Κύβον 1000000000 ἐννέα Μηδενικά. πρέπει λοιπὸν νὰ προσθέτωμεν ἐν τοῖς Δεκαδικοῖς Κλάσμασιν εἰς τὸ τέλος τόσα Μηδενικὰ Σημεῖα. ἂν δὲ τὸ δοθὲν Ποσὸν εἶναι Μικτὸν, τότε Μερίζομεν τὸ ὁλοσχερὲς ξεχωριστὰ, ϗ τὰ Δεκαδικὰ ξεχωριστὰ εἰς Κλάσεις, καθὼς εἴπομεν ἀνωτέρω (§. 71.). νὰ ἐξαγάγωμεν ἐκ τοῦ 0,3758, ϗ 146. 37. τὴν Κυβικὴν ῥίζαν.

375,800	10.72	146.370	15.2
343		125	
32800		21370	
147		75	
294		150	
340		637	
84		60	
2560		5770	
8		8	
2552	κ. τ. λ.	5762	κ. τ. λ.

ΣΧΟΛΙΟΝ δ'.

§. 77. Ἐὰν παρατηρήσωμεν ἀκριβέστερον τὰ Ἀλγεβραϊκὰ Σχήματα τῶν Δυνάμεων, ϗ ἐξετάσωμεν τοὺς Κανόνας, καθ' οὓς τόσον οἱ Συνεργοὶ, ὅσον ϗ οἱ Δυναμοδεῖκται αὐξάνουσι, ϗ ἐλαττοῦνται, θέλομεν εὕρῃ, ὅτι δύναται νὰ σχηματισθῇ ἕνας Γενικὸς Κανὼν, καθ' ὃν δυνάμεθα νὰ γράφωμεν τὰ Μέλη σὺν τοῖς αὐτῶν Συνεργοῖς ϗ Δυναμοδείκταις, χωρὶς νὰ πολλαπλασιάζωμεν τὸ διδόμενον Ποσὸν μετὰ τῆς ῥίζης πρὸς ὕψωσιν Δυνάμεων. αἱ Δυνάμεις τοῦ $\alpha+\beta$ εἰσὶν αἱ ἑξῆς.

α'.) $\alpha+\beta$
β'.) $\alpha^2+2\alpha\beta+\beta^2$
γ'.) $\alpha^3+3\alpha^2\beta+3\alpha\beta^2+\beta^3$
δ'.) $\alpha^4+4\alpha^3\beta+6\alpha^2\beta^2+4\alpha\beta^3+\beta^4$. κ. τ.

Ὁ ἀριθμὸς τῶν Μελῶν, ἢ ὅρων πάντοτε εἶναι μείζων τοῦ Δυναμοδείκτου τῆς ζητουμένης Δυνάμεως Μονάδι. οἱ Δυναμοδεῖκται τοῦ α ἐλαττοῦνται κατὰ τάξιν Μονάδι, οἱ δὲ τοῦ β αὐξάνουσιν. Ὁ Συνεργὸς τοῦ Δευτέρου Μέλους εἶναι πάντοτε Ἴσος μὲ τὸν Δυναμοδείκτην τοῦ πρώτου. οἱ δὲ Συνεργοὶ τῶν ἐπιλοίπων Μελῶν εἶναι τὸ Γινόμενον ἐκ τοῦ Δυναμοδείκτου τοῦ προηγουμένου Μέλους ϗ τοῦ ἰδίου Συνεργοῦ, διαιρεθὲν διὰ τοῦ ἀριθμοῦ τῶν προηγουμένων Μελῶν. π. χ. ἐν τῷ $(\alpha+\beta)^4$ πρῶτον Μέλος εἶναι α^4. ὁ Συνεργὸς ἄρα τοῦ δευτέρου Μέλους ὑπάρχει ὁ 4, ϗ ὁ Δυναμοδείκτης τοῦ α εἶναι ὁ 3, τοῦ δὲ β εἶναι ἡ Μονὰς ($4\alpha^3\beta$). Ὁ Συνεργὸς τοῦ τρίτου Μέλους εἶναι τὸ Γινόμενον ἐκ τοῦ Δυναμοδείκτου τοῦ δευτέρου Μέλους, ϗ ἐκ τοῦ Συνεργοῦ αὐτοῦ, ἤτοι $3\times4=12$ διαιρεθὲν διὰ τοῦ ἀριθμοῦ τῶν προηγουμένων Μελῶν, ἤτοι διὰ τοῦ 2, ὅπερ ἐστὶ $=6$. ὁ Δυναμοδείκτης τοῦ α εἰς τὸ τρίτον Μέλος εἶναι ὁ 2, ϗ τοῦ β ὡσαύτως ὁ 2, ($6\alpha^2\beta^2$). ϗ πάλιν ὁ Συνεργὸς τοῦ τετάρτου Μέλους εἶναι ὁ τοῦ προτέρου Μέλους Συνεργὸς Πολλαπλασιασθεὶς μετὰ τοῦ Δυναμοδείκτου τοῦ αὐτοῦ Μέλους, τουτέστι $6\times2=12$, ϗ Διαιρεθεὶς διὰ τοῦ ἀριθμοῦ τῶν προηγουμένων Μελῶν, ἤτοι διὰ τοῦ 3, ϗ οὕτω προκύπτει ὁ Συνεργὸς τοῦ τε-

τάρτου

τετάρτου Μέλους ὁ 4. ὁ δὲ Δυναμοδείκτης τοῦ α εἶναι ἡ Μονάς. τοῦ δὲ β ὁ 3 ($4\alpha\beta^3$). ϗ ἐν ἑνὶ λόγῳ ὁ Συνεργὸς τοῦ πέμπτου Μέλους εἶναι $4 \times 1 = \frac{4}{4} = 1$. Τὸ α ἔχει Ἐκθέτην τὸ 0. ἄρα $\alpha^0 = 1$, ἐπειδὴ δὲ ἡ Μονὰς δὲν γράφεται, διὰ τοῦτο μένει τὸ Τέταρτον Μέλος β^4 μόνον. ἔστω ἡ ῥίζα $\alpha+\beta$. διὰ νὰ ὑψωθῇ εἰς τὴν ὀγδόην Δύναμιν ἤτοι $(\alpha+\beta)^8$, ὅθεν γράφομεν πρῶτον τὸ Ποσὸν α μετὰ τῶν Δυναμοδεικτῶν ἐλαττουμένων, οἷον $\alpha^8, \alpha^7, \alpha^6, \alpha^5, \alpha^4, \alpha^3, \alpha^2, \alpha$. ἔπειτα πλησίον τούτου τίθεμεν ϗ τὸ β, μετὰ τῶν Δυναμοδ. αὐξανομένων, ἀρχίζοντες ἀπὸ τοῦ δευτέρου Μέλους ἕως εἰς τὸ ἔννατον. ἐπειδὴ ζητεῖται ἡ ὀγδόη Δύναμις. οἷον. $\alpha^8, \alpha^7\beta, \alpha^6\beta^2, \alpha^5\beta^3, \alpha^4\beta^4, \alpha^3\beta^5, \alpha^2\beta^6, \alpha\beta^7, \beta^8$. Ὁ μὲν Συνεργὸς τοῦ δευτέρου Μέλους εἶναι 8 = τῷ Δυναμοδείκτῃ τοῦ πρώτου. Ὁ δὲ Συνεργὸς τοῦ τρίτου Μέλους εἶναι ὁ προηγούμενος Συνεργὸς 8, πολλαπλασιασθεὶς μετὰ τοῦ Δυναμοδείκτου 7, οἷον $8 \times 7 = 56$, ϗ διαιρεθεὶς διὰ τοῦ ἀριθμοῦ τῶν προηγουμένων Μελῶν, ἤτοι διὰ τοῦ 2, $56 : 2 = 28$. ὁ δὲ Συνεργὸς τοῦ τετάρτου Μέλους εἶναι $= 28 \times 6 = 168$, ϗ διαιρεθεὶς διὰ τοῦ 3 τοῦ ἀριθμοῦ τῶν προηγουμένων Μελῶν, $168 : 3 = 56$. ὁ δὲ Συνεργὸς τοῦ πέμπτου $= 56 \times 5 = 280 : 4 = 70$. ὁ Συνεργὸς τοῦ ἕκτου εἶναι $70 \times 4 = 280 : 5 = 56$. ὁ δὲ Συνεργὸς τοῦ ἑβδόμου εἶναι $56 \times 3 = 168 : 6 = 28$. ὁ δὲ Συνεργὸς τοῦ ὀγδόου Μέλους εἶναι $28 \times 2 = 56 : 7 = 8$, ὁ δὲ Συνεργὸς τοῦ ἐννάτου εἶναι $8 \times 1 = 8 : 8 = 1$. κατ' αὐτὸν τὸν τρόπον ποριζόμεθα τὸ Ἀλγεβραϊκὸν Σχῆμα τῆς ὀγδόης Δυνάμεως ἄνευ Πολλαπλασιάσεως

$$\alpha^8 + 8\alpha^7\beta + 28\alpha^6\beta^2 + 56\alpha^5\beta^3 + 70\alpha^4\beta^4 + 56\alpha^3\beta^5 + 28\alpha^2\beta^6 + 8\alpha\beta^7 + \beta^8.$$

Εἰς ἐκεῖνο τὸ Μέλος εἰς τὸ ὁποῖον οἱ Δυναμοδεῖκται τοῦ α ϗ τοῦ β εἶναι ἴσοι ἀλλήλοις (τὸ ὁποῖον εἶναι πάντοτε εἰς τὸ μεσαίτατον Μέλος, ἐὰν ὁ ἀριθμὸς τῶν Μελῶν τυγχάνῃ περιττὸς) ἔχει τὸν μέγιστον Συνεργόν, ἀπὸ δὲ τοῦ μεσαιτάτου τούτου Μέλους μέχρι τέλους ἐλαττοῦνται οἱ Συνεργοί, καθ' ὃν τρόπον πρότερον ηὔξησαν ἤτοι ἀπὸ τοῦ πρώτου Μέλους μέχρι τοῦ μεσαιτάτου. π. χ. εἰς τὸ προτεθὲν Παράδειγμα οἱ μὲν τέσσαρες προηγούμενοι Συνεργοί εἰσιν 1, 8, 28, 56, ὁ δὲ μεσαίτατος 70, ϗ ὕστερον οἱ τελευταῖοι τέσσαρες πάλιν 56, 28, 8, 1. Ἐὰν δὲ ὁ ἀριθμὸς τῶν Μελῶν ἄρτιος ὑπάρχῃ, ὡς εἰς τὴν ἐννάτην Δύναμιν τοῦ $\alpha+\beta$. οἷον $\alpha^9 + 9\alpha^8\beta$

$+36\alpha^7\beta^2+84\alpha^6\beta^3+126\alpha^5\beta^4+126\alpha^4\beta^5+84\alpha^3\beta^6+36\alpha^2\beta^7+9\alpha\beta^8$ $+\beta^9$. τότε τὰ δύω μεσαίτατα Μέλη ἔχουσι τὸν αὐτὸν καὶ μέγιστον Συνεργὸν, ὅθεν ἐλαττοῦνται πάλιν ἕως τέλους κατὰ τὸν λόγον καθ' ὃν ηὔξησαν ἀπ' ἀρχῆς. ἀναγκαῖον λοιπὸν νὰ διατάττωμεν τοὺς ὑπολογισμοὺς ἕως εἰς τὸν μέγιστον Συνεργὸν καὶ εἰς τὰ μετὰ τὸ μεσαίτατον Μέλη νὰ προσγράφωμεν τοὺς αὐτοὺς Συνεργοὺς, ὅμως κατ' ἀντεστραμμένην τάξιν, καθὼς ἐν τῷ προτέρῳ Παραδείγματι, οἱ τρεῖς πρῶτοι Συνεργοὶ εἶναι 8, 28, 56. ὁ δὲ μέγιστος 70, ἔπειτα οἱ τελευταῖοι τρεῖς 56, 28, 8.

ΣΧΟΛΙΟΝ ε'.

§. 78. Ἐὰν ἐκλάβωμεν τὴν Δύναμιν, ἢ ἀξίαν γενικῶς καὶ ἀδιορίστως, τότε τὸν Ἐκθέτην τῆς Δυνάμεως ὀνομάζομεν μ, καὶ τὸ μὲν πρῶτον Μέλος ἔσται α^{μ}. τὸ δὲ δεύτερον $\mu\alpha^{\mu-1}\cdot\beta$. τὸ δὲ τρίτον $\frac{\mu\,.\,\mu-1}{1\,.\,2}\alpha^{\mu-2}\cdot\beta^2$. τὸ δὲ τέταρτον $\frac{\mu\,.\,\mu-1\,.\,\mu-2}{1\,.\,2\,.\,3}\alpha^{\mu-3}\cdot\beta^3$ κ.τ.λ. τὸ α ὅμως δύναται νὰ λείψῃ, καὶ ἡ Σειρὰ αὕτη νὰ πληρώσῃ, ἐὰν ὁ ἀπὸ τοῦ μ τοῦ Δυναμοδείκτου τοῦ α ἀφαιρετέος ἀριθμὸς εἶναι ἴσος μὲ τὸ μ. ἐπειδὴ τότε ἔσται $\alpha^{\mu-\mu}=\alpha^0=1$, καὶ αὕτη ἡ Μονὰς εἶναι ὁ Συνεργὸς τοῦ ἐσχάτου Μέλους τοῦ β.

ΣΧΟΛΙΟΝ ς'.

§ 79. Αὗται αἱ γενικαὶ Ἐκθέσεις χρησιμεύουσι μάλιστα εἰς τὸ νὰ ἐρευνήσωμεν διάφορα Θεωρήματα, καὶ Ἰδιότητας, καθὼς θέλομεν ἰδεῖ ἐν τῷ ἑξῆς Κεφαλαίῳ σαφέστερον. κατ' αὐτὸν τὸν τρόπον δυνάμεθα ἐκ τῆς γενικῆς Ἐκθέσεως τοῦ Διμελοῦς Τετραγώνου $\alpha^2+2\alpha\beta+\beta^2$ νὰ συμπεραίνωμεν (ἐὰν ὑπάρχῃ τὸ $\beta=1$), ὅτι τὸ Τετράγωνον τῆς Μονάδι αὐξηθείσης ῥίζης εἶναι ἴσον τῷ Τετραγώνῳ τῆς προτέρας ῥίζης, ἐὰν προσθέσωμεν εἰς αὐτὸ τὸ Διπλάσιον

τῆς

τῆς ῥίζης καὶ μίαν Μονάδα. ἐπειδὴ οὕτω τὸ πρότερον Σχῆμα μετασχηματίζεται εἰς τὸ ἑξῆς $\alpha\alpha + 2\alpha + 1$ ὅθεν τὸ Τετράγωνον τοῦ 13 (τουτέστι τὸ 169) εἶναι ἴσον τῷ Τετραγώνῳ τοῦ 12 (τουτέστι τῷ 144), ἐὰν προσθέσωμεν εἰς αὐτὸ τὸ Διπλοῦν τοῦ 12 καὶ μίαν Μονάδα. ἐκ δὲ τῆς γενικῆς Ἐκθέσεως τοῦ Κύβου $\alpha^3 + 3\alpha^2\beta + 3\alpha\beta^2 + \beta^3$, (ἐὰν εἶναι τὸ $\beta = 1$) γίνεται δῆλον, ὅτι ὁ Κύβος τῆς Μονάδι αὐξηθείσης ῥίζης ἴσος ἐστὶ μὲ τὸν Κύβον τῆς προτέρας ῥίζης, ἐὰν εἰς τοῦτον προστεθῇ τὸ Τριπλάσιον Τετράγωνον τῆς προτέρας ῥίζης καὶ τὸ Τριπλάσιον τῆς ῥίζης, καὶ μία Μονάς οἷον $\alpha^3 + 3\alpha^2 + 3\alpha + 1$. οὕτω καὶ περὶ τῶν λοιπῶν.

ΚΕΦΑΛΑΙΟΝ ε'.

Περὶ λογισμοῦ τῶν ῥιζικῶν Ποσῶν.

ΟΡΙΣΜΟΣ α'.

§. 80. Ῥιζικὸν Ποσὸν λέγεται ἐκεῖνο, τὸ ὁποῖον ἔχει τοῦτο τὸ ῥιζικὸν Σημεῖον $\sqrt{}$ πρὸ ἑαυτοῦ κείμενον ὡς $\sqrt{\alpha}$, $5\sqrt[4]{\alpha^3}$, $\delta\sqrt[\mu]{\alpha^\nu}$, $\sqrt{16}$, $4\sqrt[3]{20}$. κ. τ. ὁ δὲ ἀριθμός, ἢ τὸ Γράμμα τὸ πρὸ τούτου τοῦ ῥιζικοῦ Σημείου εὑρισκόμενον λέγεται τῆς ῥίζης, ἢ ῥιζικὸς Συνεργός. ὅταν ὅμως δὲν εὑρίσκηται γεγραμμένος κανένας τοιοῦτος Συνεργός, ἐννοεῖται τότε ἡ Μονάς. ὁ δὲ ἐπὶ τοῦ ῥιζικοῦ Σημείου κείμενος ἀριθμὸς, ἢ τὸ Γράμμα ὀνομάζεται Ἐκθέτης, ἢ Δυναμοδείκτης τῆς ῥίζης. ὅταν ὅμως δὲν εἶναι μήτ' αὐτὸς ἐπιγεγραμμένος, ἐννοεῖται πάντοτε τὸ 2, ἢ ἡ Δευτέρα Δύναμις· π. χ. $\sqrt{\alpha}$ εἶναι Τετραγωνικὴ ῥίζα τοῦ Ποσοῦ α. $\sqrt[\mu]{\alpha^{\nu}}$ εἶναι ἡ ῥίζα μ τοῦ Ποσοῦ α ὑψωμένου εἰς τὴν ν Δύναμιν.

ΟΡΙΣΜΟΣ β'.

§. 81. Ὅμοια ῥιζικὰ Ποσὰ ὀνομάζονται ἐκεῖνα, τὰ ὁποῖα ἔχουσι τοὺς αὐτοὺς Ἐκθέτας ἐπὶ τοῦ ῥιζικοῦ Σημείου, καὶ τὰ αὐτὰ μετὰ τὸ Σημεῖον κείμενα Γράμματα, οἱ δὲ τούτων Συνεργοὶ ἔστωσαν καὶ Διάφοροι. π. χ. τὸ $\mu\sqrt{\alpha}$ μὲ τὸ $\nu\sqrt{\alpha}$, καὶ $3\sqrt[\mu]{\alpha}$ μὲ τὸ $\sqrt[\mu]{\alpha}$ εἶναι ἀλλήλοις ὁμοιοειδῆ ῥιζικὰ Ποσά. Ἀνόμοια δὲ λέγονται, ὅτε ἔχουσιν ἢ διαφόρους Ἐκθέτας, ἢ διάφορα Γράμματα μετὰ τὸ Σημεῖον ὡς $\sqrt{\alpha}$ καὶ $\sqrt[3]{\beta}$. $\sqrt[\mu]{\alpha}$ καὶ $\sqrt[\mu]{\beta}$.

ΣΧΟΛΙΟΝ.

§. 82. Διὰ αὐτοῦ τῆς Ἐκθέσεως δεικνύομεν, ὅτι πρέπει νὰ ἐξαχθῇ ἡ διὰ τοῦ ῥιζικοῦ Ἐκθέτου ἐμφαινομένη ῥίζα ἐκείνου τοῦ Ποσοῦ,

τὸ

τὸ ὁποῖον κεῖται ὑποκάτω τῦ Σημείυ. ἐὰν τὸ Ποσὸν ὑπάρχῃ ἀληθὴς Δύναμις ϗ ἑπομένως ἡ ῥίζα τύτυ εἶναι ἀληθὴς, δυνάμεθα τότε νὰ γράφωμεν τὴν ῥίζαν αὐτὴν ἀντὶ τῦ δεδομένυ Ποσῦ. ὡς

$\sqrt{16} = 4. \sqrt[3]{64} = 4. \sqrt{\alpha^2} = \alpha$, κ. τ. εἰ δὲ ϗ δὲν δύναται νὰ ἐξαχθῇ ἡ ῥίζα ἀκριβῶς, ϗ ἑπομένως εἶναι ἄῤῥητος ἢ ψαῦδὴς (§. 59), τότε ὀνομάζομεν τὸ τοιῦτον Ποσὸν ἄλογον Ποσὸν ὡς

$\sqrt[3]{30}$, $\sqrt{\alpha}$, κ. τ. Περὶ τύτων τῶν ἀλόγων Ποσῶν θέλομεν πραγματευθῇ κυρίως εἰς αὐτὸ τὸ Κεφάλαιον.

ΣΧΟ'ΛΙΟΝ.

§. 83. Ο῎στις φυλάττει εἰς τὴν μνήμην τυ, ὅσα ἀνωτέρω (§. 61.) ἐπραγματεύθημεν περὶ τῆς Ε'ξαγωγῆς τῶν ῥιζῶν, εὐκόλως θέλει καταλάβη ϗ ὅσα ἔχομεν νὰ πραγματευθῶμεν ἤδη περὶ τῆς Ε'ργασίας τῶν ῥιζικῶν Ποσῶν. Ε'πειδὴ ἐὰν διαιρῶμεν τὸν Εκθέτην τῦ Ποσῦ, ἢ τῆς μετὰ τὸ Σημεῖον κειμένης Δυνάμεως διὰ τῦ Ε'κθέτυ τῆς ῥίζης, ἐξάγεται ὕτως ἡ ῥίζα τῦ δεδομένυ Ποσῦ, ἑπομένως γράφομεν τὸν τοιῦτον Κλασματικὸν Ε'κθέτην ἐπὶ τῦ Ποσῦ χωρὶς νὰ πρόσκηται τὸ ῥιζικὸν Σημεῖον. π. χ. ἐὰν ζητῆται ἡ Κυβικὴ ῥίζα τῦ α^2, πρέπει νὰ γράψωμεν $\sqrt[3]{\alpha^2}$, τὸ ὁποῖον γενομένης τῆς Ε'ξαγωγῆς, μεταβάλλεται εἰς $\alpha^{\frac{2}{3}}$ (§. 61.).

ΠΡΟ'ΒΛΗΜΑ α'.

§. 84. Νὰ ἀποβάλλωμεν τὸ ῥιζικὸν Σημεῖον.

ΠΡΑΚΤΕ'Α.

Διαιρῦμεν τὸν Δυναμοδείκτην τῦ Ποσῦ διὰ τῦ Ε'κθέτυ τῆς ῥίζης, ἢ γράφομεν τὸν Ε'κθέτην τῆς ῥίζης εἰς

Παρονομαστὴν ὑπὸ τὸν Δυναμοδείκτην (ὅστις θεωρεῖται τότε ὡς ἀριθμητὴς) τοῦ μετὰ τὸ Σημεῖον προσγεγραμμένου Ποσοῦ, καὶ τὸ ἐκ τούτου προκύπτον Πηλίκον, ἢ τὸ Κλάσμα ποιοῦμεν Ἐκθέτην τοῦ δεδομένου Ποσοῦ, ἀποβάλλοντες τὸ ῥιζικὸν Σημεῖον, π. χ. $\sqrt{a}=a^{\frac{1}{2}}$. $\sqrt[3]{a^2}=a^{\frac{2}{3}}$; $\sqrt{a^4}=a^{\frac{4}{2}}=a^2$. $\sqrt[\mu]{a^\nu}=a^{\frac{\nu}{\mu}}$.

ΔΕΙ͂ΞΙΣ.

Ἡ ῥίζα ἐξάγεται, ὅταν διαιρεθῇ ὁ Ἐκθέτης τῆς Δυνάμεως, ἢ τοῦ διδομένου Ποσοῦ διὰ τοῦ Ἐκθέτου τῆς ζητουμένης ῥίζης (§. 61). ἀλλὰ μὴν ταύτην τὴν Διαίρεσιν ἐμφαίνει ὁ Κλασματικὸς Ἐκθέτης. ἄρα ἀφ' οὗ τεθῇ ὁ τοιοῦτος Κλασματικὸς Ἐκθέτης ἐπὶ τοῦ Ποσοῦ, ἐξήχθη ἡ ῥίζα αὐτοῦ. καὶ τὸ ῥιζικὸν σημεῖον ἐξωθεῖται ὡς περιττόν.

ΠΟΡΙΣΜΑ.

§. 85. Ἐὰν τὸ δοθὲν Ποσὸν ὑπάρχῃ ἀληθὴς Δύναμις, τότε γράφομεν ἀμέσως τὴν ῥίζαν αὐτοῦ, ἄνευ τοῦ ῥιζικοῦ Σημείου καθὼς εἴπομεν ἀνωτέρω (§. 82.). ἐὰν δὲ τὸ Ποσὸν δὲν εἶναι ἀληθὴς Δύναμις, τότε γράφομεν αὐτὸ μετὰ τοῦ Κλασματικοῦ Ἐκθέτου. ἀλλ' ἐὰν τὸ δοθὲν Ποσὸν εἶναι ἐν τῶν ἀδυνάτων, ἢ τῶν κατ' ἐπίνοιαν λεγομένων Ποσῶν, ὡς ἡ ῥίζα τοῦ ἀποφατικοῦ Τετραγώνου $\sqrt{-a^2}$, τότε εἶναι καὶ ἡ Ἐξαγωγὴ αὐτοῦ ἀδύνατος καὶ κατ' ἐπίνοιαν.

ΠΡΟΒΛΗΜΑ β'.

§. 86. Νὰ ἐκθέτωμεν τὴν Δύναμιν τοῦ Κεκλασμένου Ἐκθέτου διὰ τοῦ ῥιζικοῦ Σημείου.

ΠΡΑΚΤΕΑ.

ΠΡΑΚΤΕ'Α.

Ο' Παρονομαστὴς γίνεται Ε'κθέτης τȣ̃ ῥιζικȣ̃ Σημείȣ, ᾗ ὁ ἀριθμητὴς μένει Ε'κθέτης τῆς Δυνάμεως, π. χ.

$$a^{\frac{\mu}{\nu}} = \sqrt[\nu]{a^{\mu}} : \text{ὡσαύτως ᾗ } a^{\frac{4}{5}} = \sqrt[5]{a^{4}}$$

ΔΕΙ'ΞΙΣ.

Ο' μὲν Παρονομαστὴς εἶναι Παραστατικὸς τῆς ῥίζης. ὁ δὲ ἀριθμητὴς τῆς Δυνάμεως κατὰ τὴν προλαβȣ̃σαν Δεῖξιν (§. 84). δύναται ἄρα ἡ αὐτὴ ῥίζα τὴν ὁποίαν ἐμφαίνει ὁ Παρονομαστὴς, νὰ προτεθῇ τῆς Δυνάμεως, ἣν ἐμφαίνει ὁ ἀριθμητὴς. ἐπειδὴ ᾗ αἱ δύω αὗται Ε'κθέσεις δεικνύȣσιν, ὅτι εἶναι Ε'ξακτὴ ἡ ῥίζα τȣ̃ Ποσȣ̃.

ΠΡΟ'ΒΛΗΜΑ γ'.

§. 87. Νὰ μεταβάλλωμεν τȣ̀ς Ε'κθέτȣς τινὸς ῥιζικȣ̃ Ποσȣ̃, χωρὶς νὰ μεταβληθῇ ἡ Δύναμις αὐτȣ̃ τȣ̃ Ποσȣ̃.

ΠΡΑΚΤΕ'Α.

Πολλαπλασιάζομεν τόσον τὸν Ε'κθέτην τῆς ῥίζης, ὅσον ᾗ τὸν Ε'κθέτην τȣ̃ μετὰ τὸ Σημεῖον κειμένȣ Ποσȣ̃ μετὰ τȣ̃ αὐτȣ̃ ἀριθμȣ̃, ἢ Ποσȣ̃, ᾗ ȣ̃τω μεταβάλλονται οἱ Ε'κθέται, χωρὶς νὰ μεταβληθῇ ἡ Δύναμις ᾗ ἡ Σημασία τȣ̃ Ποσȣ̃.

ΠΑΡΑ'-

ΠΑΡΑ'ΔΕΙΓΜΑ.

$$\sqrt[3]{\alpha^2} = \sqrt[3\times 2]{\alpha^{2\times 2}} = \sqrt[6]{\alpha^4}$$

$$\sqrt[\mu]{\alpha^\nu} = \sqrt[\mu\times\gamma]{\alpha^{\nu\times\gamma}} = \sqrt[\mu\gamma]{\alpha^{\nu\gamma}}.$$

Δ ΕΙ῀ Ξ Ι Σ.

Ἡ Δύναμις ἑνὸς Κλάσματος δὲν μεταβάλλεται, ἐὰν πολλαπλασιασθῇ κ᾽ ὁ ἀριθμητὴς, κ᾽ ὁ Παρονομαστὴς μετὰ τȣ̃ αὐτȣ̃ ἀριθμȣ̃ (ἀριθμητ. §. 70.). ἀλλὰ μὴν δύναται ὁ μὲν Ἐκθέτης τῆς ῥίζης νὰ θεωρηθῇ ὡς Παρονομαστὴς, ὁ δὲ Ἐκθέτης τȣ̃ Ποσȣ̃ ὡς ἀριθμητὴς (§.84), ἄρα δύναται νὰ μεταβληθῶσιν οἱ Ἐκθέται τȣ̃ ῥιζικȣ̃ Ποσȣ̃ ἄνευ τινὸς Μεταβολῆς τῆς Σημασίας αὐτȣ̃, ἐὰν πολλαπλασιασθῶσι κ᾽ οἱ δύω διὰ τȣ̃ αὐτȣ̃ ἀριθμȣ̃.

ΠΟ'ΡΙΣΜΑ γ'.

§. 88. Τὸ Ἴδιον γίνεται κ᾽ περὶ τῆς Διαιρέσεως διὰ τȣ̃ αὐτȣ̃ ἀριθμȣ̃, καθὼς εἴπομεν εἰς τὰ Κλάσματα. π. χ.

$\sqrt[6]{\alpha^4} = \sqrt[3]{\alpha^2}$, ἐπειδὴ $\sqrt[\frac{6}{2}]{\alpha^{\frac{4}{2}}} = \sqrt[3]{\alpha^2}$. κ᾽ $\sqrt[8]{\alpha^8} = \sqrt[\frac{8}{4}]{\alpha^{\frac{8}{4}}} = \sqrt{\alpha^2} = \alpha$.

ΠΡΟ'ΒΛΗΜΑ ς'.

§. 89. Νὰ φέρωμεν εἰς τὸν αὐτὸν Ἐκθέτην ῥιζικὰ Ποσὰ ἔχοντα διαφόρȣς Ἐκθέτας.

ΛΥ'ΣΙΣ,

ΛΥ'ΣΙΣ, ἢ ΠΡΑΚΤΕ'Α.

Α'ποβάλλομεν πρῶτον τὸ ῥιζικὸν Σημεῖον καὶ ἐμφαίνομεν τοὺς Ε'κθέτας εἰς Κλάσματα (§. 84.). ἔπειτα αὐτὰ τὰ Κλάσματα ἀνάγωμεν εἰς τὸν αὐτὸν Παρονομαστὴν (ἀριθμητ. §. 77.), μετέπειτα πάλιν ποιοῦμεν τὸν Παρονομαστὴν κάθε Κλάσματος Ε'κθέτην τοῦ ῥιζικοῦ Σημείου (§. 86.), καὶ οὕτω θέλουσιν ἔχῃ ὅλα τὰ δεδομένα Ποσὰ τὸν αὐτὸν ῥιζικὸν Ε'κθέτην.

ΠΑΡΑ'ΔΕΙΓΜΑ.

$\sqrt[\mu]{\alpha^{\nu}}$ καὶ $\sqrt[\pi]{\beta^{\sigma}}$ εἶναι $\alpha^{\frac{\nu}{\mu}}$ καὶ $\beta^{\frac{\sigma}{\pi}}$. ἐξ οὗ γίνεται $\alpha^{\frac{\nu\pi}{\mu\pi}}$ καὶ $\beta^{\frac{\mu\sigma}{\mu\pi}}$. ἄρα $\sqrt[\mu\pi]{\alpha^{\nu\pi}}$ καὶ $\sqrt[\mu\pi]{\beta^{\mu\sigma}}$. καὶ δι᾽ ἀριθμῶν $\sqrt[6]{\alpha^{3}}$ καὶ $\sqrt[5]{\beta^{2}}$ ἐστὶ $\alpha^{\frac{3}{6}}$ καὶ $\beta^{\frac{2}{5}}$ ἐξ οὗ γίνεται $\alpha^{\frac{15}{30}}$ καὶ $\beta^{\frac{12}{30}}$. λοιπὸν $\sqrt[30]{\alpha^{15}}$ $\sqrt[30]{\beta^{12}}$.

Δ ΕΙ' Ξ Ι Σ.

Η' Δεῖξις αὕτη κρέμαται ἀπὸ τῶν Παραγράφων, τοὺς ὁποίους ἀνωτέρω εἰς τὴν λύσιν ἀνεκαλέσαμεν, καὶ τὸ ἄθροισμα τῶν Δείξεων τούτων τῶν Παραγράφων εἶναι ἡ Δεῖξις τούτου τοῦ Προβλήματος.

ΣΧΟ'ΛΙΟΝ.

§. 90. Ο'ταν ὁ Ε'κθέτης δὲν εἶναι γεγραμμένος μήτε ἐπὶ τοῦ ῥιζικοῦ Σημείου, μήτε ἐπὶ τῆς μετὰ τὸ Σημεῖον Ποσότητος, τότε

ἐννοεῖ-

§. 91. Νὰ θέτωμεν μετὰ τὸ ῥιζικὸν Σημεῖον τὸν Συνεργὸν ἑνὸς ῥιζικοῦ Ποσοῦ, χωρὶς νὰ μεταβληθῇ ἡ Δύναμις.

ΠΡΑΚΤΕΑ.

Υψώνομεν πρῶτον τὸν Συνεργὸν εἰς ἐκείνην τὴν Δύναμιν, τὴν ὁποίαν ἐμφαίνει ὁ Ἐκθέτης τοῦ ῥιζικοῦ Σημείου, καὶ ὕστερον τὸν πολλαπλασιάζομεν διὰ τοῦ μετὰ τὸ Σημεῖον Ποσοῦ καὶ τότε θέτομεν τὸ Γινόμενον μετὰ τὸ Σημεῖον.

π. χ. $\alpha\sqrt[3]{\beta^2} = \sqrt[3]{\alpha^3\beta^2}$, ὡσαύτως $3\sqrt{8} = \sqrt{9\times8} = \sqrt{72}$: ἐὰν δὲ $3\alpha\sqrt{\beta}$ γίνεται $\sqrt{9\alpha^2\beta}$. ὡσαύτως καὶ $\frac{\alpha}{\beta}\sqrt[3]{\gamma}$

$$= \sqrt[3]{\frac{\alpha^3}{\beta^3}\gamma}\ .\ \text{καὶ}\ \frac{3\alpha}{2\beta}\sqrt[3]{\delta} = \sqrt[3]{\frac{27\alpha^3}{8\beta}\delta}.$$

ΔΕΙΞΙΣ.

ἐννοεῖται, καθὼς εἴπομεν ἀνωτέρω, ἐπὶ μὲν τοῦ ῥιζικοῦ Σημείου τὸ 2. ἐπὶ δὲ τῆς Ποσότητος ἡ Μονάς, τὰ ὁποῖα καὶ τὰ δύω εἶναι ἀναγκαῖον νὰ ἐκθέσωμεν εἰς αὐτὰ τὰ Προβλήματα.

Π. χ. $\sqrt{a^3}$ καὶ $\sqrt[5]{\beta}$ εἶναι $\alpha^{\frac{3}{2}}$ καὶ $\beta^{\frac{1}{5}}$ ἐξ οὗ γίνεται $\alpha^{\frac{15}{10}}$ καὶ $\beta^{\frac{2}{10}}$. λοιπὸν $\sqrt[10]{\alpha^{15}}$ καὶ $\sqrt[10]{\beta^2}$.

Ἐὰν ἀποβάλωμεν πάλιν τὰ ῥιζικὰ Σημεῖα, καὶ ἀνάγωμεν εἰς ἐλαχίστους Ὅρους τοὺς κεκλασμένους Ἐκθέτας, τότε θέλουσι προκύψει πάλιν τὰ δεδομένα Ποσά. τοῦτο δύναται νὰ μᾶς χρησιμεύσῃ ὡς Βάσανος, εἰς κάθε τοιαύτην Ἀλγεβραϊκὴν Ἐργασίαν.

Π. χ. $\sqrt[10]{\alpha^{15}}$ καὶ $\sqrt[10]{\beta^2}$. εἶναι $\alpha^{\frac{15}{10}}$ καὶ $\beta^{\frac{2}{10}} = \alpha^{\frac{3}{2}} = \beta^{\frac{1}{5}}$

$= \sqrt{\alpha^3}$ καὶ $\sqrt[5]{\beta}$.

ΠΡΟΒΛΗΜΑ έ.

ΔΕΙ͂ΞΙΣ.

Τὸ ῥιζικὸν Σημεῖον ἐμφαίνει, ὅτι ἐκ τῦ μετὰ τῦτο τὸ Σημεῖον Κειμένυ Ποσῦ πρέπει νὰ ἐξαγάγωμεν ἐκείνην τὴν ῥίζαν, τὴν ὁποίαν ἐμφαίνει ὁ Ἐκθέτης τῦ Σημείυ. ἐὰν λοιπὸν ἐξαγάγωμεν πάλιν ἐκ τῆς Δυνάμεως τῦ Συνεργῦ ῥίζαν τῆς αὐτῆς Δυνάμεως δὲν μεταβάλλεται ἡ Δύναμις τῦ Συνεργῦ, καὶ ἑπομένως ἡ λύσις ἐγένετο κατὰ τὸ πρέπον.

ΠΡΟΒΛΗΜΑ ϛ'.

§. 92. Νὰ φέρωμεν ῥιζικὰ Ποσὰ εἰς Ἐκθέτες, ἢ Ὅρυς ἐλάσσονας.

ΠΡΑΚΤΕΑ.

Ἀναλύομεν τὴν μετὰ τὸ Σημεῖον Ποσότητα εἰς Παράγοντας, καὶ ἐὰν ἐξ ἑνὸς τύτων τῶν Παραγόντων δυνώμεθα νὰ ἐξαγάγωμεν τὴν ῥίζαν, ἥτις ἐμφαίνεται διὰ τῦ ῥιζικῦ Ἐκθέτυ, θέτομεν αὐτὸν ὡς Συνεργὸν πρὸ τῦ ῥιζικῦ Σημείυ,

$$\sqrt[\mu]{\alpha^\nu \beta^\mu} = \sqrt[\mu]{\alpha^\nu} \times \beta^\mu = \beta \sqrt[\mu]{\alpha^\nu}$$

ὡσαύτως $\sqrt[3]{\alpha^2 \beta^3} = \sqrt[3]{\alpha^2} \times \beta^3 = \beta \sqrt[3]{\alpha^2}$

ὡσαύτως $\sqrt{32} = \sqrt{16 \times 2} = 4\sqrt{2}$

ὡσαύτως $\sqrt[3]{32} = \sqrt[3]{8 \times 4} = 2\sqrt[3]{4}$.

ΔΕΙ͂ΞΙΣ,

ΔΕΙ͂ΞΙΣ.

Ἡ Δεῖξις αὕτη κρέμαται ἐκ τοῦ ἀνωτέρω Προβλήματος (§. 91.) ἐπειδὴ καθ' ὃν τρόπον συντίθεται μία Ποσότης, κατὰ τὸν αὐτὸν καὶ ἀναλύεται πάλιν.

ΠΡΟ'ΒΛΗΜΑ ζ'.

§. 93. Ποσὰ ἔχοντα πλεῖω ῥιζικὰ Σημεῖα, εἰς ἕνα μόνον Ὅρον ἀγαγεῖν.

ΠΡΑΚΤΕ'Α, ἢ ΛΥ'ΣΙΣ.

Τὸ πρὸ τοῦ ῥιζικοῦ Σημείου Ποσὸν θέτομεν μετὰ τὸ Σημεῖον (§. 91.) καὶ τοὺς Ἐκθέτας τῶν ῥιζικῶν Σημείων πολλαπλασιάζομεν ἐπ' ἀλλήλους· π. χ.

$$\sqrt[\mu]{\frac{\alpha}{\beta}\sqrt[\nu]{\frac{\gamma}{\delta}\sqrt[\rho]{\frac{\varepsilon}{\vartheta}}}}$$ γίνεται πρῶτον $$\sqrt[\mu]{\frac{\alpha}{\beta}\sqrt[\nu\rho]{\frac{\gamma^{\rho}\,\varepsilon}{\delta^{\rho}\,\vartheta}}}$$

ἔπειτα $\sqrt[\mu\nu\rho]{\dfrac{\alpha^{\nu\rho}\,\gamma^{\rho}\,\varepsilon}{\beta^{\nu\rho}\,\delta^{\rho}\,\vartheta}}$. καὶ ἐν ἀριθμ. $\sqrt{2\sqrt{2\sqrt{2}}}$ τουτέστι $\sqrt[4]{2\sqrt[4]{4\times2}}$, τουτέστι $\sqrt[8]{16\times4\times2}$ ὅπερ ἐστὶ $\sqrt[8]{128}$.

διὰ τῆς ἐναντίας Ἐργασίας ἀνάγομεν τὸ ῥιζικὸν Ποσὸν εἰς ἐλαχίστους Ὅρους.

$$\sqrt[18]{73728}=\sqrt[18]{4096\times9\times2}=\sqrt[9]{64\times3}\sqrt{2}=\sqrt[3]{4}\sqrt[3]{3}\sqrt{2}.$$

ΠΡΟ-

ΠΡΟΒΛΗΜΑ η.

§. 94. Νὰ ἀθροίζωμεν, κὴ νὰ ἀφαιρῶμεν ῥιζικὰ Ποσά.

ΠΡΑΚΤΕ'Α, ἢ ΛΥ'ΣΙΣ.

Ἐὰν ὦσιν ἀνόμοια τὰ Ποσὰ, ἐμφαίνεται ἡ Πρόσθεσις, ἢ ἡ ἀφαίρεσις μόνον διὰ Σημείων + κὴ —. ὅταν δὲ ὦσιν ὅμοια, τότε ἀθροίζομεν, ἢ ἀφαιρῦμεν, ἢ ἀνάγομεν τὺς Συνεργὺς κατὰ τὺς προτεθέντας Κανόνας ἐν τῇ ἀλγέβρᾳ. (§. 14. κ. τ.).

ΔΕΙ'ΞΙΣ.

Τὰ μὲν ἀνόμοια Ποσὰ δὲν δύνανται νὰ ἑνωθῶσιν ὕτως, ὥςε ἐξ αὐτῶν νὰ γένῃ μόνον ἕνας ὅρος. τὰ δὲ Ὅμοια Ποσὰ ἐὰν μηδέν τι κωλύῃ, δύνανται νὰ ἑνωθῶσιν εἰς ἕνα Ὅρον, ἀλλὰ μὴν εἰς τὰ Ὁμοειδῆ Ἀλγεβραϊκὰ Ποσὰ γίνεται ἡ Πρόσθεσις, κὴ ἀφαίρεσις, ἢ ἡ Ἐπιτομὴ διὰ τῶν Συμβόλων κὴ Συνεργῶν. ἄρα κατ' αὐτὸν τὸν τρόπον ἀθροίζονται κὴ ἀφαιρῦνται τὰ ῥιζικὰ Ποσά.

ΠΑΡΑ'ΔΕΙΓΜΑ.

$\alpha\sqrt{\gamma}$ κὴ $\beta\sqrt{\delta}$ ἀθροίζονται ὕτως $\alpha\sqrt{\gamma}+\beta\sqrt{\delta}$. $\alpha\sqrt{\gamma}+\beta\sqrt{\gamma}$ ἐν μὲν τῇ Προσθέσει γίνεται $(\alpha+\beta)\sqrt{\gamma}$. ἐν δὲ τῇ ἀφαιρέσει γίνεται $(\alpha-\beta)\sqrt{\gamma}$.

ΠΟΡΙΣΜΑ.

§. 95. Ὅταν ὦσι τὰ ῥιζικὰ Ποσὰ δι' ἀριθμῶν παρεστάμενα, τότε πρέπει νὰ προσπαθήσωμεν νὰ τὰ ἀνάξωμεν εἰς ἐλάσσονα καὶ Ἴσην Ἔκθεσιν δύω Ὅρων. ἄλλως δὲν ἠμποροῦμεν νὰ τὰ μεταβάλωμεν, εἰμὴ διὰ τῶν Σημείων. π. χ. $\sqrt{8}$ καὶ $\sqrt{18}$ γίνεται $\sqrt{4 \times 2}$ καὶ $\sqrt{9 \times 2}$, ἤτοι $2\sqrt{2}$ καὶ $3\sqrt{2}$. ἀθροιζομένων δὲ τῶν Συνεργῶν, γίνεται $5\sqrt{2}$. καὶ κατὰ τὸ πέμπτον Πρόβλημα ποιοῦμεν $\sqrt{25 \times 2} = \sqrt{50}$.

ΠΡΟΒΛΗΜΑ Θ.

§. 96. Νὰ πολλαπλασιάζωμεν ῥιζικὰ Ποσά.

ΠΡΑΚΤΕΑ, ἢ ΛΥΣΙΣ.

Ἀνάγωμεν αὐτὰ πρῶτον εἰς ἕνα κοινὸν Παρονομαστὴν, ἢ Ἐκθέτην τῆς ῥίζης (§. 89), ἐὰν δὲν ἔχωσιν αὐτὸν κοινόν. ὕστερον πολλαπλασιάζομεν τοὺς Συνεργοὺς μετ' ἀλλήλων, καὶ τὸ ἐκ τούτων Γινόμενον εἶναι ὁ νέος Συνεργός: πλὴν πολλαπλασιάζομεν μετ' ἀλλήλων καὶ τὰ μετὰ τὸ Σημεῖον κείμενα Ποσὰ, καὶ τὸ Γινόμενον τοῦτο εἶναι τὸ νέον Ποσὸν, τὸ ὁποῖον πρέπει νὰ τεθῇ μετὰ τὸ ῥιζικὸν Σημεῖον.

ΠΑΡΑ-

ΠΑΡΑ'ΔΕΙΓΜΑ.

$$\sqrt{\alpha}\times\delta=\delta\sqrt{\alpha}.\ \text{κ}\grave{\alpha}\iota\ \alpha\sqrt[3]{\beta}\times\gamma\sqrt[3]{\delta}=\alpha\gamma\sqrt[3]{\beta\delta}$$

ὡς. καὶ $3\sqrt{\alpha}\times 4\sqrt{\beta^2}=12\sqrt{\alpha\beta^3}$

τὸ δὲ $\frac{4}{5}\sqrt[3]{\alpha^2\gamma}\times\frac{3}{8}\sqrt[3]{\alpha\gamma^4}=\frac{12}{40}\sqrt[3]{\alpha^3\gamma^5}$.

τὸ δὲ $\frac{\alpha}{\beta}\sqrt[\nu]{\frac{\gamma}{\delta}}\times\frac{\varepsilon}{\zeta}\sqrt[\mu]{\frac{\eta}{\vartheta}}=\frac{\alpha}{\beta}\sqrt[\mu\nu]{\frac{\gamma^\mu}{\delta^\mu}}\times\frac{\varepsilon}{\zeta}\sqrt[\mu\nu]{\frac{\eta^\nu}{\vartheta^\nu}}$

$$=\frac{\alpha\varepsilon}{\beta\zeta}\sqrt[\mu\nu]{\frac{\gamma^\mu\eta^\nu}{\delta^\mu\vartheta^\nu}}$$

τὸ δὲ $\sqrt{3}-4\sqrt{2}$ πολλαπλασιασθὲν μετὰ

τοῦ $\sqrt{3}-5\sqrt{2}$

$$\begin{array}{l}\sqrt{9}-4\sqrt{6}\\ \quad-5\sqrt{6}+20\sqrt{4}\\ \hline \sqrt{9}-9\sqrt{6}+20\sqrt{4}=3-9\sqrt{6}+40.\end{array}$$

ἔτι $2\sqrt[2]{5}\times 3\sqrt[3]{2}=2\sqrt[6]{125}\times 3\sqrt[6]{4}=6\sqrt[6]{500}$.

ΠΡΟ'ΒΛΗΜΑ ί.

§. 97. Νὰ διαιρῶμεν ῥιζικὰ Ποσά.

ΛΥ'ΣΙΣ, ἢ ΠΡΑΚΤΕ'Α.

Πρῶτον ἀνάγομεν αὐτὰ εἰς τὸν αὐτὸν Ἐκθέτην τῆς ῥίζης, ἐὰν δὲν ἔχωσιν τὸν ἴδιον, ὕστερον διαιροῦμεν τὸν Συνεργὸν τῦ Διαιρετέυ διὰ τῦ Συνεργῦ τῦ Διαιρέτυ, ϗ τὸ Πηλίκον εἶναι ὁ νέος Συνεργὸς. πέλος διαιρῦμεν ϗ τὰ μετὰ τὸ ῥιζικὸν Ποσὰ, ϗ τὸ Πηλίκον εἶναι τὸ νέον Ποσὸν, τὸ ὁποῖον θέτομεν μετὰ τὸ Ἴδιον ῥιζικὸν Ποσὸν. π. χ.

$$\alpha\sqrt[3]{\beta} : \gamma\sqrt[3]{\delta} = \frac{\alpha}{\gamma}\sqrt[3]{\frac{\beta}{\delta}}\,.$$

$$4\sqrt{\alpha} : 2\sqrt{\alpha} = 2$$

$$8\sqrt{32} : 4\sqrt{8} = 2\sqrt{4} = 2 \times 2 = 4$$

ἐπ ϗ $\frac{\kappa}{\vartheta}\sqrt[\nu]{\frac{\alpha}{\beta}} : \frac{\eta}{\varepsilon}\sqrt[\mu]{\frac{\gamma}{\delta}} = \frac{\varepsilon\kappa}{\eta\vartheta}\sqrt[\mu\nu]{\frac{\alpha^{\mu}\delta^{\nu}}{\beta^{\mu}\gamma^{\nu}}}$

ΠΡΟΒΛΗΜΑ ιά.

§. 98. Νὰ ὑψώνωμεν ῥιζικὰ Ποσὰ εἰς ὁποιανδήποτε Δύναμιν, ἢ νὰ ἐξάγωμεν ἐξ αὐτῶν ὁποιανδήποτε ῥίζαν.

ΠΡΑΚΤΕΑ, ἢ ΛΥΣΙΣ.

Πολλαπλασιάζομεν τὸν Δυναμοδείκτην τῦ μετὰ τὸ ῥιζικὸν Σημεῖον Ποσῦ μετὰ τῆς ζητυμένης Δυνάμεως, καὶ ἕτως ὑψώθη τὸ ῥιζικὸν Ποσὸν εἰς τὴν ζητυμένην Δύναμιν. ἢ διαιρῦμεν τὸν Δυναμοδείκτην τῦ μετὰ τὸ Σημεῖον Ποσῦ μὲ τὴν ζητυμένην ῥίζαν, καὶ ὕτως ἐγένετο ἡ ζητυμένη Ἐξαγωγὴ. π. χ. ἔστω τὸ $\sqrt[5]{a}$ ἀρπὸν εἰς τὴν

πτέρτετάρτην Δύναμιν. ὅθεν γίνεται $\sqrt[5]{\alpha^4}$. ὡσαύτως ϗ τὸ $\sqrt{\alpha\beta\gamma}$ ἐὰν πρέπῃ νὰ ὑψωθῇ εἰς τὴν τρίτην Δύναμ., γίνεται $\sqrt{\alpha^3\beta^3\gamma^3}$, ἤτοι $(\sqrt{\alpha\beta\gamma})^3$.

ΠΟΡΙΣΜΑ.

§. 99. Αἱ Δείξεις τούτων τῶν λύσεων δὲν διαφέρουσιν ἀπὸ τῶν ἐν τῷ §. 15. ϗ ἑπομ. προτεθεισῶν δείξ.

ΣΧΟΛΙΟΝ.

§. 100. Ἐὰν θελήσωμεν νὰ ἀποβάλωμεν κατὰ τὸ πρῶτον Πρόβλημα πάντοθεν τὸ ῥιζικὸν Σημεῖον, τότε ὁ μετὰ τῶν ῥιζικῶν λογισμὸς γίνεται ἁπλοῦς Ἐκθετικὸς λογαριασμὸς, περὶ οὗ ἐπραγματεύθημεν ἐν τῷ §. 44. ϗ ἐν τοῖς ἑξῆς §§. διὰ τοῦτο ἐν γένει ὁ λογαριασμὸς τῶν ῥιζικῶν Ποσοτήτων δύναται νὰ καταληφθῇ σχεδὸν, ὡς περιττός.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ Ἐξισώσεων.

ΟΡΙΣΜΟΣ α'.

§. 101. Ἐξίσωσις ἐστὶ Παράθεσις δύω Ἴσων, ἢ ταυτοδυνάμων Ποσοτήτων, τὰς ὁποίας ἐκθέτομεν εἴτε διὰ τῶν Ἰδίων, εἴτε διὰ Διαφόρων Γραμμάτων. ταύτην δὲ τὴν Ἐξίσωσιν παραςαίνομεν, γράφοντες μεταξὺ τῶν δύω παραθετομένων Ποσοτήτων τοῦτο τὸ Σημεῖον τῆς Ἰσότητος =. π. χ. ὅταν θέλωμεν νὰ δείξωμεν, ὅτι τὸ Ποσὸν α εἶναι Ἶσον, ἢ ἔχει τὴν αὐτὴν Δύναμιν μὲ τὸ β, γράφομεν οὕτως,

$$\alpha = \beta. \text{ καὶ } \chi = \frac{\alpha\beta}{\gamma} \text{ σημαίνει, ὅτι τὸ}$$

Ποσὸν χ εἶναι Ἶσον τοῦ α, πολλαπλασιασθέντι πρῶτον μετὰ τοῦ β, καὶ διαιρεθέντι ἔπειτα διὰ τοῦ γ.

ΠΟ'ΡΙΣΜΑ.

§. 102. Ἐκ τούτου γίνεται δῆλον, ὅτι κάθε Ἐξίσωσις πρέπει νὰ ἔχῃ δύω Ὅρους ἢ Μέλη, τὸ ἓν πρὸ τοῦ Σημείου τῆς Ἰσότητος, καὶ τὸ ἄλλο μετὰ τὸ Σημεῖον. καὶ τὸ μὲν πρὸ τοῦ Σημείου λέγεται πρῶτον Μέλος, τὸ δὲ μετὰ τὸ Σημεῖον γραφόμενον καλεῖται Δεύτερον Μέλος.

ΣΧΟ'ΛΙΟΝ α.

§. 103. Αἱ λέξεις Τὸ Αὐτὸ, Ἴσον, καὶ Ὅμοιον διαφέρουσι[illegible]ων, καὶ πρέπει ἐνταῦθα νὰ προσέξωμεν καλῶς, νὰ μὴ [illegible]τωμεν ταύτας τὰς λέξεις. ἐπειδὴ Τὸ Αὐτὸ ἐκλαμβάνεται [illegible] ἓν μόνον πρᾶγμα, τὸ ὁποῖον ἀποκλείει κάθε διαφορὰν [illegible] Πλήθους. δὲν δύναται νὰ εἶναι ὁ Παῦλος καὶ ὁ Πέτρος τὸ αὐτὸ, καὶ οὕτως ἐκλαμβάνομεν τὴν λέξιν Τὸ Αὐτὸ διὰ ἓν καὶ τὸ Ἴδιον πρᾶγμα. Ἴσον δὲ λέγεται ἐκεῖνο, τὸ ὁποῖον συμφωνεῖ κατὰ πάντα λόγον μὲ ἓν ἕτερον, π. χ. τὸ Τετράγωνον Α εἶναι Ἴσον τῷ Τετραγώνῳ Β, ἐὰν ὅλαι αἱ Πλευραὶ καὶ αἱ τρεῖς γωνίαι ὦσιν Ἴσαι ἑκατέ-

ρα

μα ἑκατέρα. καὶ διὰ τοῦτο δύναται νὰ τεθῇ ἀδιαφόρως τὸ ἓν ἀντὶ τοῦ ἄλλου. Ταῦτα ἀμφότερα κατὰ μὲν τὸ πρᾶγμα εἶσιν Τὸ Αὐτὸ, κατὰ δὲ τὸν ἀριθμὸν εἰσὶ δύω. Ὅμοιον δὲ λέγεται ἐκεῖνο, τὸ ὁποῖον συμφωνεῖ μὲ ἓν δεύτερον κατὰ πάντα λόγον ἐκτὸς τοῦ Μεγέθους. οὕτως εἶναι τὸ Τρίγωνον Α Ὅμοιον τῷ Τριγώνῳ Β, ἐὰν ὦσιν αἱ Γωνίαι Ἴσαι ἑκατέρα ἑκατέρᾳ, αἱ δὲ Πλευραὶ διάφοροι.

Εἰς τὰς Ἐξισώσεις λέγομεν ἐκεῖνα τὰ Ποσὰ Ἴσα, ὁποῦ ἔχουσι τὴν αὐτὴν Δύναμιν, ἢ Σημασίαν π. χ. Τουρκικὰ Γρόσια 5 = 600 Τουρκικοῖς Παρᾶσιν.

ΣΧΟΛΙΟΝ β'.

§. 104. Τὸ ἀντικείμενον τῶν Ἐξισώσεων εἶναι τὸ νὰ εὑρίσκωμεν τὴν Δύναμιν, ἢ Σημασίαν ἑνὸς, ἢ καὶ πλειόνων ἀγνώστων Ποσῶν· τοῦτο ὅμως εἶναι ἀδύνατον νὰ γενῇ, ἐὰν δοθῶσι μόνον ἄγνωστα Ποσὰ χωρὶς τινων Ἐγνωσμένων, ὡς $\chi = \varphi$. διὰ τοῦτο εἶναι ἀνάγκη μετὰ τῶν ἀγνώστων νὰ δίδωνται πάντοτε καὶ Γνωστά τινα Ποσὰ, πρὸς τὰ ὁποῖα νὰ ἔχωσι τὰ ἄγνωστα Σχέσιν, ἢ λόγον τινὰ, ὡς $3\chi = 18$ τουτέστιν, ἐὰν πολλαπλασιασθῇ τὸ ἄγνωστον Ποσὸν μετὰ τοῦ 3, ἔχει λόγον Ἰσότητος πρὸς τὰ 18. $\frac{30}{5} = 6$ σημαίνει, ὅτι τὸ ἄγνωστον ζητούμενον Ποσὸν, ἐὰν πολλαπλασιασθῇ μετὰ τοῦ 3, καὶ τὸ ἐκ τούτου Γενόμενον διαιρεθῇ διὰ τοῦ 5, Ἰσοδυναμεῖ τῷ 6. ἐκ τούτων ἕπονται οἱ ἑξῆς Ὁρισμοί.

ΟΡΙΣΜΟΣ β'.

§. 105. Τὸ Πρόβλημα μιᾶς Ἐξισώσεως εἶναι ἡ Ἐρώτησις πρὸς εὑρεσίαν Δυνάμεώς τινος Ποσοῦ, τὸ ὁποῖον δύναται νὰ ἔχῃ λόγον Ἰσότητος μὲ τὴν Γνωστὴν Σημασίαν ἑνὸς ἄλλου Ποσοῦ. Ἡ λύσις τοῦ Προβλήματος συνίσταται εἰς τὴν Ἔκθεσιν αὐτὴν τοῦ ἀγνώστου Ποσοῦ μετά τινος Ἐγνωσμένης Δυνάμεως, ἢ Σημασίας, π. χ. Πρόβλημα εἶναι: τὸ νὰ εὕρωμεν ἀριθμὸν, ὅστις ἐὰν προστεθῇ εἰς τὰ 56, παρέχει ἄθροισμα Ἴσον μὲ τὸ Τριπλάσιον αὐτοῦ.

Ἡ δὲ λύσις εἶναι αὕτη $\chi = 28$ τουτέστιν ὁ ζητούμενος ἀριθμὸς εἶναι 28, ὅστις προστεθεὶς εἰς τὸν 56, δίδει Κεφάλαιον Τριπλάσιον τοῦ 28. ἢ $28 + 56 = 28 \times 3$ ἀμφότερα εἶσιν Ἴσα μὲ τὰ 84.

ὉΡΙΣΜΟ͂Σ γ΄.

§. 106. Ὑποθέσεις, ἢ Συνθῆκαι τοῦ Προβλήματος λέγονται αἱ Σχέσεις τοῦ ἀγνώστου Ποσοῦ πρὸς τὰ Ἐγνωσμένα, τὰ ὁποῖα εἶναι ἀπολύτως ἀναγκαῖα πρὸς λύσιν τοῦ Προβλήματος. Τὰς δὲ Συνθήκας ἐκδηλοῦμεν ἢ δια ἀριθμητικῶν χαρακτήρων, ἢ διὰ τῶν ἀρκτικῶν Γραμμάτων α, β, γ. οἷον. ὁ Πέτρος ἀποδημήσας, ἐλαύνει καθ᾽ ἑκάστην ἡμέραν 10 Μίλλια, καὶ ὁδεύει ἤδη πέντε ἡμέρας. ὁ δὲ Παῦλος ὁδεύει καθ᾽ ἑκάστην 15. Μίλ., εἰς πόσας ἄρα ἡμέρας θέλει φθάσει τὸν Πέτρον. ἐνταῦθα ζητεῖται ὁ χρόνος, καθ᾽ ὃν μέλλει νὰ συνέλθωσιν ἀμφότεροι· αἱ Συνθῆκαι εἶναι αἱ ἡμέραι καὶ τὰ Μίλλια τοῦ Πέτρου μετὰ τῶν Μιλ. τοῦ Παύλου. Ὁ δρόμος τὸν ὁποῖον ὤδευσεν ὁ Πέτρος, εἶναι $10 \times 5 = 50$ Μίλ. καὶ πρέπει νὰ κάμῃ δρόμον ἔτι $10 \times \chi$, τὰ ὁποῖα ὁμοῦ ληφθέντα πρέπει νὰ εἶναι Ἴσα μὲ τὸν δρόμον τοῦ Παύλου $15 \times \chi$, τουτέστιν $50 + 10\chi = 15\chi$· δυνάμεθα νὰ ὀνομάσωμεν τὰ Μίλλια τοῦ Πέτρου α καὶ τὰς ἡμέρας τοῦ δρόμου γ. τὰ δὲ Μίλλια τοῦ Παύλου β, καὶ τότε γίγνεται ἡ Ἐξίσωσις οὕτως, $\alpha\gamma + \alpha\chi = \beta\chi$. ἐὰν δὲ λυθῇ αὐτὸ τὸ Πρόβλημα εἰς ἀριθμητικοὺς χαρακτῆρας ἔσαι τὸ $\chi = 10$. ὥσπερ δὴ καὶ ἐν Γράμμασιν $\frac{\alpha\gamma}{\beta - \alpha} = \chi$, ἢ $\frac{50}{15 - 10} = 10$, ὁ ἀριθμὸς τῶν ἡμερῶν, καθ' ἃς ὁ Παῦλος πρέπει νὰ φθάσῃ τὸν Πέτρον.

ΟΡΙΣΜΟΣ δ'.

§. 107. Ὡρισμένον Πρόβλημα λέγεται ἐκεῖνο, ὅπου ἐπιδέχεται μίαν μόνην καὶ ταύτην Ὡρισμένην λύσιν τῆς προκειμένης Ἐρωτήσεως. οὕτως εἶναι ἐν τῷ προτέρῳ Προβλήματι (§. 106.) ὁ ζητούμενος ἀριθμὸς μόνος, καὶ ὡρισμένος

10. τοιαῦτα Προβλήματα εἶναι ἐκεῖνα, ἐν οἷς γίνονται τόσαι Ἐξισώσεις, ὅσα εἶναι καὶ τὰ ἄγνωστα Ποσά. ἂν δὲ τὸ ἄγνωστον Ποσὸν ἓν μόνον ὑπάρχῃ, πρέπει καὶ Ἐξίσωσις νὰ εἶναι μία. ἐὰν δὲ ὦσι δύω τὰ ἄγνωστα, ὡσαύτως καὶ αἱ Ἐξισώσεις πρέπει νὰ εἶναι δύω. ἐὰν δὲ ὦσι τρία τὰ ἄγνωστα, πρέπει καὶ αἱ Ἐξισώσεις νὰ εἶναι τρεῖς. ἀδιόριστον Πρόβλημα λέγεται ἐκεῖνο, τὸ ὁποῖον δύναται νὰ ἐπιλυθῇ πολλαχῶς, καὶ νὰ ἀποδοθῇ διὰ πλειόνων ἀριθμῶν, π. χ. ζητοῦμεν δύω ἀριθμοὺς, τῶν ὁποίων τὸ ἄθροισμα νὰ εἶναι Ὀκτώ. οἱ δύω οὗτοι ἀριθμοὶ δύνανται νὰ εἶναι 7 καὶ 1, ἢ 6 καὶ 2, ἢ 5 καὶ 3, ἢ 4 καὶ 4. τοῦτο συμβαίνει κάθε φορὰν, ὅπου εἶναι ὀλιγώτεραι αἱ Ἐξισώσεις ἀπὸ τὰ ἄγνωστα Ποσὰ, καθὼς εἰς τὸ προλαβὸν Παράδειγμα, τὸ ὁποῖον ἔχει μίαν Ἐξίσωσιν καὶ δύω ἄγνωστα Ποσὰ, $\chi + \psi = 8$. ἂν δὲ προστεθῇ καὶ δευτέρα Ἐξίσωσις εἰς αὐτὸ, ὅτι δηλαδὴ τὸ ἐκ τῶν δύω τούτων ἀριθμῶν Γινόμενον νὰ εἶναι 12, τότε ἤθελεν εἶναι τὸ Πρόβλημα διωρισμένον, καὶ ἤθελε λυθῇ μόνον μὲ τοὺς δύω τούτους ἀριθμοὺς 6 καὶ 2. πλέον ἢ διωρισμένον λέγεται τὸ Πρό-

βλημα τὸ ὁποῖον ἔχει πλέονας Συνθήκας (ὑποθέσεις), παρὰ ἄγνωστα Ποσά, αἱ ὁποῖαι Συνθῆκαι, ἢ εἶναι περιτταὶ, ἢ περικλείουσιν ἀντίφασιν, ὅθεν καὶ τὴν λύσιν τοῦ Προβλήματος ἀδύνατον ἀποκαθιστῶσιν. Ἐὰν προστεθῇ ἐν τῷ προλαβόντι Παραδείγματι καὶ τρίτη Συνθήκη, ὅτι δηλαδὴ ἡ Διαφορὰ τῶν δύω ἀριθμῶν νὰ εἶναι $= 4$. ὡς $\chi - \psi = 4$. φθάνουσιν οἱ δύω πρότεροι ἀριθμοί. ἐὰν δὲ ἡ τρίτη Συνθήκη ἤθελεν εἶναι, ὅτι ἡ Διαφορὰ αὐτῶν νὰ εἶναι $= 2$, τότε ἤθελεν εἶναι ἀδύνατος ἡ λύσις τοῦ Προβλήματος. ἐπειδὴ δὲν εὑρίσκονται δύω πιστοὶ ἀριθμοί, ὥστε νὰ περιέχωσι καὶ τὰς τρεῖς ταύτας Συνθήκας.

ΟΡΙΣΜΟΣ ι.

§. 108. Ἐξίσωσις τοῦ πρώτου Βαθμοῦ εἶναι, ὅταν τὸ ἄγνωστον Ποσὸν ὑπάρχῃ μόνον εἰς τὴν πρώτην Δύναμιν. $\chi + \frac{1}{2}\chi = \alpha$. Ἐξίσωσις δὲ τοῦ δευτέρου Βαθμοῦ λέγεται, ὅταν τὸ ἄγνωστον Ποσὸν ὑπάρχῃ Τετράγωνον, ἢ εἶναι ὑψωμένον εἰς τὴν δευτέραν Δύναμιν. οἷον $\chi^2 - \chi = \alpha$. Ἐξίσωσις δὲ τοῦ Τρίτου Βαθμοῦ λέγεται, ὅταν τὸ ἄγνωστον Ποσὸν εἶναι Κύβος. κ. τ. Ὅταν δὲ πλείονα ὦσι τὰ ἄγνωστα Ποσὰ, τότε λαμβάνεται ἡ ὀνομασία ἀπὸ τὸ ἄθροισμα τῶν ἐν ἑνὶ μέλει ὄντων Δυναμοδεκτῶν τῶν ἀγνώστων Ποσοτήτων. ὡς $\chi\varphi - \varphi = \beta$ εἶναι Ἐξίσωσις τῦ δευτέρε Βαθμῦ. ἐπειδὴ καὶ τὸ Κεφάλαιον τῶν Δυναμοδεκτῶν τῦ $\overset{1}{\chi}\overset{1}{\varphi}$ εἶναι $= 2$.

ΣΧΟ΄ΛΙΟΝ.

§. 109. Ὅταν λοιπὸν μᾶς προβληθῇ καμμία Ἐξίσωσις, πρέπει νὰ τὴν ἐκφράζωμεν τρόπον τινὰ εἰς ἀλγεβραϊκὴν διάλεκτον. πρέπει δὲ νὰ διακρίνωμεν καλῶς τὰ ἄγνωστα Ποσὰ ἀπὸ τὰ Ἐγνωσμένα, καὶ τὰ μὲν Ἐγνωσμένα ἐκθέτομεν ἢ δι᾽ ἀριθμῶν, ἢ διὰ τῶν ἀρχικῶν Γραμμάτων α, β, γ, κ. τ. τὰ δὲ ἄγνωστα διὰ τῶν τελευταίων $\varphi, \chi, \psi, \omega$. πρέπει δὲ πρὸς τούτοις νὰ προσέχωμεν ἀκριβῶς, νὰ μὴν αὐξάνωμεν τὸν ἀριθμὸν τῶν ἀγνώστων Ποσῶν ἄνευ ἀνάγκης π. χ. ἐὰν ζητῆται ἀριθμός τις, φέρ᾽ εἰπεῖν, χ, καὶ τότε πρέπει νὰ ληφθῇ τὸ ἥμισυ, τὸ Διπλάσιον, τὸ Τριπλάσιον, κ. τ. γράφομεν τὸ μὲν Διπλάσιον 2χ, τὸ δὲ Τριπλάσιον 3χ, τὸ δὲ ἥμισυ $\frac{1}{2}\chi$, ἢ $\frac{\chi}{2}$. ἐὰν δὲ ζητῶνται δύω ἀριθμοὶ, τῶν ὁποίων νὰ εἶναι ἢ ἡ Διαφορὰ $= 10$, ἢ τὸ Κεφάλαιον $= 30$, εἶναι περιττὸν νὰ ἐκθέτωμεν τοὺς δύω τούτους ἀριθμοὺς διὰ δύω Γραμμάτων χ καὶ ψ, ἀλλὰ λαμβάνομεν τὸν ἐλάσσονα $= \chi$ καὶ τότε ὁ μείζων ἔσαι $= 30 - \chi$, $(10 + \chi)$, ἢ θέττομεν τὸν μείζονα $= \chi$, καὶ τότε ὁ ἐλάσσων εἶναι Ἴσος τῷ $30 - \chi$. τοῦτο χρησιμεύει πολλάκις, ὅτι τὸ Πρόβλημα παρίσαται ἐκ τριῶν ἀγνώστων Ποσῶν, ὡς κατωτέρω εἰς τὸ α. Παράδειγμα. πρὸς τούτοις πρέπει νὰ πρόσκηνται μετὰ τῶν προσηκόντων Σημείων των. ἐὰν εἶναι ὁ λόγος περὶ κέρδους, αὐξήσεως, ἢ προσθήκης, θέτομεν τὸ Σημεῖον $+$. ὅτι δὲ ὁ λόγος γίνεται περὶ ζημίας, ἐλαττώσεως, ἢ Διαφορᾶς, μεταχειριζόμεθα

τὸ

τὸ Σημεῖον —. Ἐὰν ζητῶνται πολλαπλάσια Ποσὰ, προστίθεμεν εἰς τὸ ἄγνωστον Ποσὸν Συνεργοὺς. Ἐὰν δὲ ζητῶνται Μέρη, γράφομεν τὸν ἀριθμὸν τῶν Μερῶν ὑπὸ τὸ χ ἢ φ εἰς εἶδος Κλάσματος καθὼς $\frac{\chi}{3}$, $\frac{\phi}{4}$. Καὶ τέλος πάντων ἐκεῖνο τὸ Ποσὸν, τὸ ὁποῖον δύναται νὰ ἔχῃ λόγον Ἰσότητος μετὰ τινὸς ἄλλου, διαιρεῖνομεν ἐκ τούτου τοῦ Σημείου τῆς Ἰσότητος $=$ δι᾽ οὗ χωρίζομεν τὴν Ἐξίσωσιν εἰς τὰ δύω Μέρη της.

ὉΡΙΣΜΌΣ ς΄.

§. 110. Αἱ Συνθῆκαι, τὰς ὁποίας φέρουσι τὰ ἄγνωστα Ποσὰ μεθ᾽ ἑαυτῶν, εἰσὶ μετὰ τούτων τῶν Ποσῶν συνδεδεμέναι, ἢ διὰ τοῦ Σημείου τῆς Προσθέσεως $+$, ὡς $\chi + 20 = 30$, ἢ διὰ τοῦ τῆς ἀφαιρέσεως Σημείου —, ὡς $\chi - 10 = 20$, ἢ διὰ τοῦ Πολλαπλασιασμοῦ, ὅταν αὐται συνέχωνται μετὰ τοῦ ἀγνώστου Ποσοῦ ὡς Συνεργοὶ, ὡς $3\chi = 30$, ἢ διὰ τῆς Διαιρέσεως, ὅταν θέτωνται ὑπὸ τὸ ἄγνωστον Ποσὸν ὡς Παρονομασταὶ εἰς εἶδος Κλάσματος, ὡς $\frac{\chi}{3} = 30$ ἢ $\frac{1}{3}\chi = 30$.

ΚΕΦΑΛΑΙΩΔΕΣ ἈΞΊΩΜΑ.

§. 111. Δύω Ἴσα Ποσὰ μένουσιν ἀλλήλοις Ἴσα, ἐὰν προστεθῶσιν αὐτοῖς Ἴσα, ἢ ἀφαιρεθῶσιν ἀπ᾽ αὐτῶν Ἴσα, ἢ πολλαπλασιαθῶσιν

αὐτὰ,

αὐτὰ, ἢ διαιρεθῶσι μετ' Ἴσων, ἢ ἀρθῶσιν εἰς τὰς αὐτὰς Δυνάμεις, ἢ ἐξαχθῶσιν ἐξ αὐτῶν αἱ αὐταὶ ῥίζαι, ἢ μεταβληθῶσιν ἐπίσης τὰ Σημεῖα ἀμφοτέρων.

ΔΕΙ͂ΞΙΣ.

Ἐκ τῶν ἤδη εἰρημένων φανεροῦται ἡ ἀλήθεια τοῦ ἀξιώματος Ἐναργῶς, καὶ τὸ πλεῖστον εἶναι καθ' ἑαυτὸ φανερόν. ἐπειδὴ ἐὰν $+\alpha = +\beta$, ἔσεται καὶ $-\alpha = -\beta$. ἐὰν δὲ $8-3=12-7$, ἔσεται καὶ $-8+3=-12+7$. ἐπειδὴ τὰ Σημεῖα δὲν μεταβάλλουσιν αὐτὰ τὰ Ποσὰ, ἀλλὰ σημαίνουσι μόνον τὰ πάθητων, ὅθεν δὲν μεταβάλλεται μήτε ἡ Ἰσότης τῶν Ποσῶν διὰ τῶν Σημείων, ἀλλὰ μόνον τὸ προσθετέον Ποσὸν γίνεται ἀφαιρετέον, καὶ ἀνάπαλιν, ἐκ τούτου ἕπεται τὸ ἑξῆς Θεώρημα.

ΘΕΩ῎ΡΗΜΑ.

§. 112. Ἐγνωσμένα Ποσὰ, καθ' ὁποιονδήποτε λόγον καὶ τρόπον μετὰ ἀγνώστων συνδεδεμένα, δυνάμεθα νὰ χωρίσωμεν ἀπὸ τῶν ἀγνώστων διὰ τῆς ἐναντίας Ἐργασίας, καὶ ἀπὸ τοῦ ἑτέρου νὰ τὰ μεταθέσωμεν εἰς τὸ ἕτερον Μέρος τῆς Ἐξισώσεως π. χ. ἐκ τῆς $\frac{2\chi}{3}+20-30=100$. δυνάμεθα νὰ κάμωμεν αὐτὴν τὴν Ἐξίσωσιν $\chi = \left(\frac{100+30-20}{2}\right)$.

ΔΕΙ͂ΞΙΣ.

ΔΕΙ̃ΞΙΣ.

